# ΠΛΗΘΩΝΟΣ

## ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗ.[1]

1 I have OCRed this Greek text of the remaining fragments of Plethon’s *Book of Laws* from a scanned pdf of Alexandre (1858) to ease searching and copying the text. Although I have proofed and corrected this text, there are no doubt remaining errors (primarily accents, breathings, and iota subscripts). Therefore, before using any of this text, I recommend that you check it against a scanned pdf or hardcopy, especially if the Greek seems odd. To facilitate comparison with Alexandre (1858) I have included the page numbers in brackets and preserved line breaks and other formatting. I have removed the critical apparatus and other footnotes. — John Opsopaus (September 3, 2021)

# [2] ΠΛΗΘΩΝΟΣ
# ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗ.

Ἡ βίβλος ἥδε περιέχει,

Θεολογίαν, μὲν τὴν κατὰ Ζωροάστρην τε καὶ Πλάτωνα, ὀνομαζομένων τῶν διὰ φιλοσοφίας ἀναγνωριζομένων θεῶν τοῖς πατρίοις τοῖς Ἕλλησι θεῶν ὀνόμασιν, ἑλκομένοις ἑκάστοις ἐκ τοῦ οὐ πάνυ τοι συνῳδοῦ φιλοσοφίᾳ, διὰ τὰς ὑπὸ τῶν ποιητῶν διαστροφὰς, ἐπὶ τὸ ὡς μάλιστα δὴ φιλοσοφίᾳ συνῳδόν·

Ἠθικὰ κατά τε τοὺς αὐτοὺς σοφοὺς καὶ ἔτι μὴν τοὺς Στωϊκούς·

Πολιτείαν δὲ Λακωνικὴν, ἀφῃρημένου μὲν αὐτῆς τοῦ ἄγαν τῆς, σκληραγωγίας καὶ τοῖς γε πολλοῖς οὐκ εὐπαραδέκτου, προστιθεμένης δὲ τῆς ἐν τοῖς ἄρχουσι μάλιστα φιλοσοφίας, τοῦ κρατίστου δὴ τούτου τῶν Πλατωνικῶν πολιτευμάτων·

[4] Ἀγιστείας εὐσταλεῖς, καὶ οὔτε περιέργους, οὐδ’ αὖ τοῦ δέοντος ἐκλιπεῖς·

Φυσικὰ δὲ δὴ κατὰ Ἀριστοτέλην τὰ πολλά.

Ἅπτεται δέ πως ἡ βίβλος καὶ λογικῶν ἀρχῶν, ἀρχαιολογίας τε Ἑλληνικῆς, καί πη καὶ ὑγιεινῆς διαίτης.

# [6] ΠΙΝΑΞ

# ΤΗΣ ΤΟΥ ΠΛΗΘΩΝΟΣ ΒΙΒΛΟΥ.

Αἱ τοῦ πρώτου βιβλίου ὑποθέσεις.


α´. Περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν.

β´. Περὶ ἡγεμόνων τῶν βελτίστων λόγων.

γ´. Περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν, τοῦ τε Πρωταγορείου καὶ τοῦ Πυῤῥωνείου.

δ´. Ἐς θεοὺς τοὺς λογίους εὐχή.

ε´. Κοινὰ περὶ θεῶν δόγματα.

ϛ´. Περὶ Διὸς τοῦ βασιλέως.

ζ´. Περὶ θεῶν τῶν ὑπερουρανίων.

η´. Περὶ θεῶν τῶν ἐντὸς οὐρανοῦ.

θ´. Περὶ τῆς τῶν θεῶν συμπάντων ἀϊδιότητος.

ι´. Περὶ τῆς Ποσειδῶνός τε καὶ τῶν ἄλλων ὑπερουρανίων θεῶν γενέσεως.

ια´. Περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ τοῦδε ἀθανάτων γενέσεως.

ιϐ´. Περὶ τῆς τῶν θνητῶν γενέσεως.

ιγ´. Περὶ ἀνθρώπου γενέσεως.

[8] ιδ΄ . Περὶ τῆς ἐπ’ ἀμφότερα ἀνθρώπου τοτὲ μὲν ἀμεί-νονος, τοτὲ δὲ χείρονος διαθέσεως.
ιε΄ . Περὶ τῆς αὐτῆς τῶν καθεστώτων μονῆς.
ις΄. Περὶ τῆς τοῦ ἤθους ἀρίστης καταστάσεως.
ιζ΄. Περὶ οἰκείας καταστάσεως.
ιη΄ . Περὶ κληρονομιῶν.
ιθ΄ . Περὶ τῶν πρὸς ἀλλήλους συμϐολῶν.
κ΄ . Περὶ πολιτείας.
κα΄. Περὶ θεῶν θεραπείας.
κϐ΄. Περὶ ἱερέων καὶ βίου αὐτῶν.
κγ΄· Περὶ καθαρμῶν.
κδ. Περὶ δικῶν.
κε΄. Περὶ ταφῆς.
κς΄. Περὶ θεραπείας τῶν οἰχομένων.
κζ΄. Περὶ τοῦ ἐκ τῶνδε ἂν τῶν νόμων περιγιγνομενου ἀγαθοῦ.
κη΄. Διαίρεσις τοῦ ὄντος.
κθ΄. Περὶ διαφορᾶς αἰτίων.
λ΄ . Περὶ ἀνάγκης τῶν αἰτίων.
λα΄. Περὶ ὀνομάτων τῶν πρεσϐυτάτων θεῶν.

## Αἱ τοῦ β΄ βιϐλίου ὑποθέσεις.

α΄ . Περὶ κριτηρίου τοῦ ἐπὶ τὴν τῶν προκειμένων σκέψιν.
β΄ . Πρόληψις ἐννοιῶν κοινῶν.

[10] γʹ. Ὡς εἰσὶ Θεοί.
δʹ. Περὶ προνοίας θεῶν.
εʹ Ὡς οὐ κακῶν οἱ θεοὶ αἴτιοι.
ςʹ. Περὶ είμαρμένης.
ζʹ. Περὶ πλήθους τῶν θεῶν.
ηʹ. Περὶ διαφορᾶς τῶν τῶν θεῶν γενῶν.
θʹ. Περὶ τῆς κατὰ Κούρητας θεοσεβείας.
ιʹ Περὶ θεῶν τῶν τε ἑπτὰ πρεσβυτάτων καὶ τῶν ἄλλων ὑπερουρανίων.
ιαʹ. Περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ θεῶν γενέσεως.
ιϐʹ. Κοινή τις ἀπόδειξις τῶν τῆς ψυχῆς τριῶν εἰδῶν.
ιγʹ. Περὶ τῶν τῶν ἄστρων εἰδῶν.
ιδʹ. Περὶ τῶν τῶν ἑπτὰ ἀστέρων δυνάμεων.
ιεʹ. Περὶ τῶν τῶν ἀστέρων ἰδίων φορῶν.
ιςʹ. Περὶ τῆς κοινῆς ἄστρων τε καὶ τοῦ παντὸς αἰθέρος περιφορᾶς.
ιζʹ. Περὶ τῆς τῶν ἄστρων ψυχῆς.
ιηʹ. Ὡς εἰσὶ δαίμονες.
ιθʹ. Ὡς οὐ πονηροὶ οἱ δαίμονές εἰσιν.
κʹ. Ἔλεγχοι τῶν κατὰ δαιμόνων διαϐολῶν.
καʹ. Περὶ δαιμόνων διαφορᾶς.
κϐʹ. Περὶ ἀθανασίας ψυχῆς τῆς ἀνθρωπίνης.
κγʹ. Περὶ τῆς τῶν θνητῶν δημιουργίας.
κδʹ. Περὶ τῆς τοῦ ἀνθρωπίνου θνητοῦ δημιουργίας.
κεʹ. Περὶ αἰσθήσεών τε καὶ τῶν καθ’ ἑκάστας.
κςʹ. Περὶ τῶν τῶν θηρίων ἐνίοις κατὰ λόγον δρωμένων.
κζʹ. Περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος.

## [12] Αἱ τοῦ γ΄ βιβλίου ὑποθέσεις.

α΄. Ἀνάληψις τοῦ περὶ εἱμαρμένης λόγου.
β΄. Ἀνάληψις τοῦ περὶ ψυχῆς ἀνθρωπίνης ἀθανασίας λόγου.
γ΄. Περὶ τέλους τοῦ βίου.
δ΄. Περὶ φρονήσεώς τε καὶ τῶν φρονήσεως εἰδῶν.
ε΄. Περὶ παίδων ἀγωγῆς.
ς΄. Περὶ τῆς πολιτείας σχήματος.
ζ΄. Περὶ ἀνδρείας.
η΄. Περὶ τῶν ἐφ’ ἡμῖν καὶ οὐκ ἐφ’ ἡμῖν, διὰ μέσης τῆς περὶ ἀνδρείας ὑποθέσεως.
θ΄. Περὶ εἰδῶν ἀνδρείας.
ι΄. Περὶ σωφροσύνης.
ια΄. Περὶ μέτρου τε καὶ συμμετρίας.
ιϐ΄. Περὶ εἰδῶν σωφροσύνης.
ιγ΄. Περὶ δυνάμεως, διὰ μέσης τῆς περὶ εἰδῶν σωφροσύνης ὑποθέσεως.
ιδ΄. Περὶ τῆς τῶν γονέων ἐκγόνοις οὐ μίξεως.
ιε΄. Περὶ θεῶν γενέσεως, διὰ μέσης τῆς περὶ γονέων ἐκγόνοις οὐ μίξεως ὑποθέσεως.
ις΄. Περὶ τῆς ἑνὶ ἀνδρὶ γυναικῶν πλειόνων συνοικήσεως.
ιζ΄. Περὶ τῆς κοινῶν γυναικῶν χρήσεως.
ιη΄. Περὶ κρεῶν ἐδωδῆς.
ιθ΄. Περὶ μιᾶς τῆς ἐν οἰκίᾳ τῇ αὐτῇ κτήσεως.

[14] κʹ. Περὶ τῆς παρὰ τὰς τελευτὰς ἑκάστων οὐκ οἰκοφθορίας.

καʹ. Περὶ σχέσεως.

κϐʹ. Περὶ Διὸς, ὡς οὐδὲ λόγῳ διάκρισίς τις ἐν αὐτῷ ἐστιν.

κγʹ. Περὶ τοῦ παντὸς, ὡς πλεοναχῇ ἐστιν ἕν.

κδʹ. Περὶ ἀγαθῶν διαφορᾶς.

κεʹ. Περὶ δικαιοσύνης.

κςʹ. Περὶ εἰδῶν δικαιοσύνης.

κζʹ. Ἀρετῆς εἰδῶν σύγκρισις.

κηʹ. Περὶ κακίας τρόπων.

κθʹ. Περὶ τοῦ ἐν δωρεαῖς πρέποντος.

λʹ. Περὶ τῶν ἐς τὸ κοινὸν ταμιεῖον εἰσφορῶν.

λαʹ. Περὶ δικῶν.

λϐʹ. Περὶ τῶν τῶν Θεῶν ὀνομάτων.

λγʹ. Περὶ προσευχῆς.

λδʹ. Ἐς θεοὺς προσρήσεις.

λεʹ. Ὕμνοι ἐς θεούς.

λςʹ. Προσρήσεών τε καὶ ὕμνων χρήσεως διάταξις.

λζʹ. Τίσι τῶν θεῶν, τίνα θυτέα.

ληʹ. Ἐπὶ τίσι πράξεσι, τίσι τε θεῶν καὶ ὅπως θυτέα.

λθʹ. Ὅπως ἔχουσι τῶν θυσιῶν μεταληπτέα.

μʹ. Περὶ ἀκριϐείας τῶν πρὸς τοὺς θεούς.

μαʹ. Κατὰ τίνων εὐκτέα τοῖς θεοῖς.

μϐʹ. Περὶ μαντειῶν.

μγʹ. Ἐπινομίς.

# [16] ΠΛΗΘΩΝΟΣ
# ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗΣ

## ΒΙΒΛΙΟΝ Α΄.

### α΄. Περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν.

Τάδε συγγέγραπται περὶ νόμων τε καὶ πολιτείας,τῆς ἀρίστης, ᾗ ἂν διανοούμενοι ἄνθρωποι καὶ ἅττ’ ἂν καὶ ἰδίᾳ καὶ κοινῇ μετιόντες τε καὶ ἐπιτηδεύοντες, ὡς δυνατὸν, ἀνθρώπων κάλλιστά τε καὶ ἄριστα βιῷεν, καὶ ἐς ὅσον οἷόντε, εὐδαιμονέστατα. Πεφύκασι γὰρ ἅπαντες ἄνθρωποι τούτου αὐτοῦ ὅτι μάλιστά τε καὶ κυριώτατα ἐφίεσθαι, τοῦ ὡς εὐδαιμόνως βιοῦν· καὶ τοῦτο ἕν τε καὶ κοινὸν ἐπιθύμημα ὑπάρχει πᾶσιν ἀνθρώποις, τέλος τε ἑκάστῳ τοῦ βίου, οὗ δὴ ἕνεκα καὶ τἄλλα πάντα μετίασί τε καὶ πραγματεύονται. Ἵενται μέντοι ἐς τὸ κοινὸν τοῦτο ἐπιθύμημα οὐκέθ’ ὁμοίως ἕκαστοι διὰ τῶν αὐτῶν, ἀλλ’ ἤδη διϊστάμενοι. Οἱ μὲν, ἣν ὡς πλεῖστον ἡδόμενοι διαβιῶσιν, οὕτω καὶ ὡς μάλιστα εὐδαιμονήσειν οἴονται, οὐκ ἄλλου ἢ ἡδονῆς ἕνεκα πάσης τε καὶ παντοίας, ἧςπερ ἂν καὶ ὁθενοῦν οἷοί τ’ ἂν ὦσιν ἀπολαύειν, ἅπαντ’ ἂν πράττειν ἀξιοῦντες. Οἱ δ’ ἐν χρημάτων κτήσει τὸ εὐ-

[18] δαιμον τίθενται, οὐδὲν ἄλλο πραγματευόμενοι διὰ βίου, ἢ ὡς πλουσιώτεροι ἀεὶ γίγνεσθαι αὐτοὶ αὑτῶν. Οἱ δὲ περὶ δόξαν τε ἐπτόηνται, καὶ τοῦτο αὐτοῖς μάλιστα σπουδάζεται, ὅπως τιμώμενοί τε καὶ ἐπαινούμενοι ὑπὸ πλείστων ἀνθρώπων διαγένωνται. Οἱ δὲ, πάντα τἆλλα ὑπερϐάντες, ἀρετὴν καὶ τὸ καλὸν τέλος παντὸς τοῦ βίου πεποίηνται, ὡς μόνην ἂν ἀρετὴν τῷ ὄντι εὐδαίμονάς τε καὶ μακαρίους τοὺς ἐπιτηδεύοντας παρεχομένην. Καὶ μὲν δὴ οὐδ’ ἀρετῆς αὐτῆς οἱ αὐτοὶ ἅπασι νόμοι. Οὔ γὰρ τὰ αὐτὰ πᾶσι καλά τε καὶ αἰσχρὰ ἔστιν ἰδεῖν, οὐδ’ ὁμοίως νομιζόμενα. Αὐτίκα οἱ μὲν λόγου τε καὶ μαθήσεων οὐδὲ δεῖν τι οὐδὲν πρὸς ἀρετὴν νομίζουσιν· εἰσὶ δ’ οἳ καὶ σπουδῇ φεύγουσι πᾶσαν τὴν περὶ αὐτὰ διατριϐῆν, λώϐην τέ τινα ἡγεῖσθαι καὶ διαφθορὰν σφῶν, ὑπὸ γοήτων δή τινων σοφιστῶν ἀναπεπεισμένοι· οἱ δ’ αὐτὰ ταῦτα καὶ κεφάλαιον ἀρετῆς ποιοῦνται, καὶ τούτου μάλιστα ἐπιμέλονται, ὅπως ὡς φρονιμώτατοί τε καὶ σοφώτατοι γένωνται. Καὶ οἱ μὲν περὶ πλήθη τε θυμάτων καὶ τῶν ἄλλων ἀγιστειῶν ὡς μάλιστα σπουδάζουσιν· οἱ δ’ οὐδ’ ὅσιον ὅλως οὐδ’ ὁτιοῦν τούτων ἡγοῦνται· οἱ δὲ τὰ μὲν τῶν τοιούτων ὅσια, τὰ δ’ ἀνόσια ἥγηνται, ἄλλοι τε ἄλλα, καὶ τὰ αὐτὰ οἱ μὲν ὅσια, οἱ δ’ ἀνόσια νομίζοντες. Καὶ οἱ μὲν μοναυλίαν τε καὶ ἀφροδισίων τὸ παράπαν ἀποχῆν κάλλιστόν τι καὶ θειότατον νομίζουσιν· οἱ δὲ γάμους τε καὶ παιδοποιήσεις τῆς μοναυλίας κάλλιόν τε ἥγηνται καὶ θειότερον. Καὶ οἱ μὲν ἐδωδίμων τῶν τῶν

[20] ἀνθρώπων τοῖς πολλοῖς νενομισμένων, αὐτοὶ διακρίνοντες ἕκαστα, τὰ μὲν ἀπόῤῥητα ποιοῦνται, ὡς δὴ οὐχ ὅσιον ὂν οὐδὲ γεύεσθαι αὐτῶν, τὰ δὲ προσίενται· οἱ δὲ πᾶσί τε ἐφιέντες, καὶ οὐδ’ ὁτουοῦν τῶν τοιούτων, ὡς δὴ οὐχ ὅσιον ὂν εἴ τις φάγοι, ἀξιοῦντες ἀπέχεσθαι, τῷ μέτρῳ τῆς ἐδωδῆς τὸ καλὸν μόνῳ ὁρίζουσι. Καὶ οἱ μὲν αὐχμοῦ τε καὶ ῥυπαρίας ἀναπιμπλάμενοι ἀνέχονται· οἱ δὲ καὶ καθαριότητα, ὡς δὴ τῶν καλῶν τι, ἐπιτηδεύουσι. Καὶ οἱ μὲν πτωχείαν τε ἐσχάτην καὶ ἀχρηματίαν ἐπαινοῦσιν· οἱ δὲ καὶ χρημάτων κτήσεώς τι μέτρον προσίενται. Καὶ οἱ μὲν τῇ ἀναιδείᾳ μάλιστα φιλοτιμοῦνται· οἱ δὲ τῇ αἰδοῖ κατὰ τὰ κοινῇ τῶν ἀνθρώπων τοῖς πλείστοις νενομισμένα ἐμμένειν ἀξιοῦσιν, εὐσχημοσύνην πανταχῇ πρὸ ἀσχημοσύνης αἱρούμενοι. Ἔτι δ’ οἱ μὲν ἐπιτηδεύειν μὲν ἀρετὴν οἴονται δεῖν, ἀλλ’ οὐκ. αὐτὴν δι’ αὐτὴν, μισθῶν δέ τινων ἕνεκα ἢ ἄθλων, ὧν ἂν θεοὶ ἐπ’ αὐτῇ παρέχοιεν, ὡς δὴ αὐτὴν καθ’ αὐτὴν οὐκ ἂν πάνυ τοι εὔδαιμον ἐπιτήδευμα οὖσαν· οἱ δὲ οὐδενὸς ἕνεκα ἄθλου, ἄλλ’ αὐτὴν δι’ αὐτὴν ἀρετὴν μετιέναι ἡγοῦνται δεῖν· οἱ δὲ καὶ αὐτὴν αὐτῆς ἕνεκα, καὶ ἄθλων τῶν ἐπ’ αὐτῇ ἂν παρὰ θεῶν τοῖς ἐπιτηδεύουσι διδομένων.

Τοσαύτης οὖν καὶ ἔτι πλείονος ἀνωμαλίας τε οὔσης καὶ ταραχῆς κατὰ τὸν βίον τὸν ἀνθρώπινον, πᾶσα ἀνάγκη, εἰ μέλλοιμέν ποτε ἀσφαλῶς τὸν ἄριστον αἱρήσεσθαι βίον καὶ τοῦ κοινοῦ τούτου καὶ ὑπὸ πάντων σπουδαζομένου τέλους τῆς εὐδαιμονίας μὴ διαμαρτήσεσθαι,

[22] μὴ εἰκῆ ἄν τὰ προστυχόντα αἱρεῖσθαι, ἀλλὰ προεξητακότας ἂν πρότερον ἱκανῶς, τίς ποθ’ ὁ ἄριστος οὗτος βίος, καὶ ἐν τίνι τὸ εὔδαιμόν ἐστιν ὡς ἀληθῶς, οὕτω τὴν αἵρεσιν ποιεῖσθαι. Τούτου δ’ ἔτι πρότερον σκεπτέον ἂν εἴη, τί ποτ’ ἐστὶν ἄνθρωπος, καὶ τίς ποτε ἡ φύσις τε αὐτοῦ καὶ δύναμίς ἐστιν. Μὴ γὰρ τοῦτο πρότερον μεμαθηκόσιν, οὐδ’ ὅ, τι πράττουσιν ἡμῖν γένοιτο ἄμεινον, οἷόν τε ἔσται μαθεῖν, οὐδ’ ὅ, τι χρησαίμεθ’ ἂν ἕξομεν ἡμῖν αὐτοῖς. Ἔχει γὰρ οὕτω καὶ περὶ ὁτουοῦν τῶν ἄλλων σκευῶν τε καὶ χρημάτων παντοδαπῶν· ὅτου ἄν τις μὴ τήν τε φύσιν καὶ δύναμιν τύχοι εἰδὼς, οὐδ’ ἂν χρήσασθαι οἷός τ’ εἴη τῷ τοιούτῳ ὡς δεῖ. Μαθεῖν δ’ αὖ ἱκανῶς, ὅ, τι ποτέ ἐστιν ἄνθρωπος, ἀμήχανον μὴ οὐ προεσκεμμένοις τε καὶ διεγνωκόσι πολὺ πρότερον ἔτι περὶ τῆς τῶν ὅλων φύσεως, τί μὲν πρεσβύτατον τῶν ὄντων, τίνες δὲ δεύτεραι καὶ τρίται φύσεις, τίνες δὲ ἔσχαται, καὶ τίς δύναμις ἑκάστων. Τούτων γὰρ δὴ διεγνωσμένων πρότερον, καὶ τὸν ἄνθρωπον αὖ ἐν αὐτοῖς τούτοις ὀρθῶς ἂν ἔχοι ἐπισκοπεῖν, τίσι μὲν τῶν ὄντων καὶ πῆ ἐπικεκοινώνηκε, τίνων δὲ καὶ ὁπόσον ἀφέστηκεν, ἐκ δὲ τίνων συνέστηκεν, οἷος δὲ ὢν οἵαν τὴν δύναμιν εἴληχεν. Ἃ δὴ ἐξητακόσι τε καὶ μεμαθηκόσιν ἱκανῶς, τοὐντεῦθεν ἤδη, καὶ ὅπως ἂν εἴη ἀνθρώπῳ βιωτέον, ὅ, τι τε καὶ ὅπως πράττοντι ἄμεινον ἂν εἴη καὶ λυσιτελέστερον, ῥᾴδιον ἂν γένοιτο καὶ οὐκέτι ἂν χαλεπὸν εἴη καταμαθεῖν.

Ἀλλὰ δὴ καὶ περὶ τῆς τῶν ἄλλων αὖ φύσεως, ὅπη ἔχει, οὐκ ὀλίγη πρός γε ἀλλήλους τοῖς ἀνθρώποις ἡ ἀμ-

[24] φισβήτησις· ἔστι μὲν ὧν οὔδ’ εἶναι θεοὺς τὸ παράπαν οἰομένων· τῶν δ’, εἶναι μὲν, τῶν δ’ ἀνθρωπίνων οὐκ ἂν προνοεῖν πραγμάτων· τῶν δὲ, προνοεῖν μὲν θεοὺς τῶν πάντων, τῶν τε ἄλλων καὶ τῶν ἀνθρωπίνων, εἶναί γε μὴν πρὸς τοῖς ἀγαθοῖς τοὺς αὐτοὺς καὶ τῶν κακῶν αἰτίους· τῶν δὲ, κακοῦ μὲν οὐδενὸς, τῶν δὲ ἀγαθῶν μόνων αἰτίους τοὺς θεοὺς εἶναι. Καὶ τῶν μὲν παραιτητοὺς οἰομένων εἶναι καὶ ὑπ’ ἀνθρώπων παρατρεπτοὺς ἐφ’ οἷς καὶ αὐτοὶ κρίναντες μελλήσωσιν ἀποτελεῖν· τῶν δὲ ἀπαρατρέπτους τε πάντη ἡγουμένων καὶ ἀμεταστρέπτους, γνώμῃ ἀεὶ τῇ σφετέρᾳ καθ’ εἱμαρμένην χωρούσῃ ἕκαστα ἀποτελοῦντας, ᾗ ἂν ἐκ τῶν ἐνόντων βέλτιστα ἕξειν μέλλοι. Ἔτι δὲ τῶν μὲν ἕνα καὶ μόνον νομιζόντων θεὸν, ὡς οὐδέν γε ἄλλο σεμνὸν ὂν ὅλως ἢ τίμιον ἀνθρώποις· τῶν δὲ, πλείους, καὶ τούτους παραπλησίους γε ἀλλήλοις, καὶ τοὺς αὐτοὺς θεότητι· τῶν δ’ ἕνα μὲν ἐξαίρετόν τε καὶ μέγιστον, τὸν πρεσβύτατον τῶν ὅλων ἀρχηγέτην, τοὺς δ’ ἄλλους τὰ δεύτερά τε καὶ τρίτα φερομένους τῆς θεότητος. Καὶ τῶν μὲν ἔξω ἑνὸς τοῦ πεποιηκότος θεοῦ τὸ ἄλλο τόδε πᾶν γενητὸν χρόνῳ, ὥσπερ, καὶ τῇ αἰτίᾳ, τιθεμένων, καί ποτε καὶ ἀπολεῖσθαι λυθησόμενον· τῶν δὲ, γεγενῆσθαι μὲν, διαμένειν δὲ τὸν ἔπειτα χρόνον ἐς ἀεὶ ἀνώλεθρον· τῶν δ’, ἓν μέρει μὲν συνίστασθαί τε καὶ γιγνεσθαι, ἐν μέρει δ’ αὖ λύεσθαί τε καὶ ἀπόλλυσθαι, καὶ τοῦτο οὕτω χωρεῖν ἀεὶ δι’ αἰῶνος· τῶν δὲ, τῇ μὲν αἰτίᾳ γενητὸν, τῷ δὲ χρόνῳ ἀγένητον τὸ σύμπαν νομιζόντων τόδε καὶ ἀνώλεθρον, καὶ πρός γε τοῦ καθεστακᾶτος ἀπαράλλακτον, τοῦ ἐφεστῶτος θεοῦ, ἅτε δὴ ἀεί τε ὡσαύ-

[26] τως καὶ κατὰ ταὐτὰ ἔχοντος, οὐδ’ ἂν ἀργοῦ πώποτε οὐδ’ ὁπωστιοῦν διαγεγονότος, ἀεὶ δὲ καὶ κατὰ τὰ αὐτα ὡσαύτως καὶ το πᾶν τάδε’ παράγοντος. Παραπλήσια δὲ καὶ περὶ τῆς ἀνθρωπείας φύσεως διαφερομένων, [τῶν μὲν] τῇ ἄλλῃ θνητῇ τε καὶ θηρίων φύσει παραπλησίαν καὶ τὴν ἀνθρωπείαν οἰομένων, οὐδὲν ἐκείνων σεμνότερον ἐν ἑαυτῇ οὐδὲ θειότερον κεκτημένην· τῶν δὲ καὶ ἐς τὴν θείαν τε δὴ καὶ πάντη ἀκήρατον ἀναγόντων ταῖς ἐλπίσι· τῶν δὲ μέσην δή τινα ἔχειν τε νῦν καὶ ἀεὶ ἕξειν χώραν τῆς τε θείας καὶ ἀθανάτου καὶ αὖ θνητῆς τὸν ἄνθρωπον νομιζόντων, μικτῆν ἐξ ἀμφοῖν.

Ταῦτ’ οὖν τοσαύτης ὄντα ταραχῆς τε πλέα καὶ ἀμφισϐητήσεως εἰ μή τις ἐπισκεψάμενος ἕκαστα δι’ ἀκριϐείας, καὶ κρίνας, οἵτινες τούτων καθάπαξ τῶν λόγων βέλτιστοι, ἀνεύροι τε τἀληθῆ, ὅπη ποτ’ ἔχει, καὶ ταῦτα ἑαυτῷ ἔμπεδα ποιήσαιτο, οὐδ’ ὅπως βιῴη ἂν τὸν αὑτοῦ εἴσεται βίον, ἀπορήσει τε ὅ, τι χρήσαιτο αὐτὸς αὑτῷ, εἰκῆ δὲ καὶ ὅ, τι ποτ’ ἂν τύχοι ἑκάστοτε αἱρούμενος ἂν καὶ διαπραττόμενος, λάθοι ἂν αὑτὸν ἀθλιώτατος, ἂν οὕτω τύχῃ, ἀνθρώπων ἀντ’ εὐδαίμονος γενόμενος.

## β´. Περὶ ἡγεμόνων τῶν βελτίστων λόγων.

Τίνι οὖν ἄν τις τρόπῳ ἐπὶ τὴν τούτων ἔλθοι σκέψιν, ἢ τίσιν ἄν ποθ’ ἡγεμόσι χρησάμενος λόγων; Λέγουσι

[28] μὲν γὰρ συχνοὶ περὶ αὐτῶν ποιηταὶ, σοφισταὶ, νομοθέται, φιλόσοφοι. Ἀλλὰ τούτων ποιηταὶ μὲν καὶ σοφισταὶ οὐκ ἄξιοι τῶν τοιούτων ἐξηγηταὶ κρίνοιντ’ ἂν δικαίως· ποιηταὶ μὲν κολακείᾳ τε τὰ πολλὰ χρώμενοι καὶ πρὸς χάριν προσομιλοῦντες ἀνθρώποις, ἀληθείας δὲ καὶ τοῦ βελτίστου οὐ πάνυ τι φροντίζοντες· σοφισταὶ δὲ ἐπί τε γοητείαν τὰ πολλὰ τετραμμένοι, καὶ δόξαν μὲν αὐτοῖς ἐκ παντὸς τρόπον μηχανώμενοι, καὶ ταύτην εἰσὶν οἳ αὐτῶν καὶ μείζω ἢ κατ’ ἀνθρώπους μετιόντες, ἀληθείας δ’ οὐ μόνον οὐδὲν φροντίζοντες, ἀλλὰ καὶ συχνὰ περὶ τήν ἀφάνισιν αὐτῆς τεχνάζοντες. Ἄμφω γὰρ τούτω τὼ γένη τὰ μὲν τῶν θεῶν πράγματα καθαιροῦντες εἰς τὸ ἀνθρωπινώτερον, τὰ δ’ ἀνθρώπινα αἴροντες εἰς τὸ θειότερον ἢ κατὰ τὸ ἀνθρώπινον μέτρον, πάντα τε ἄνω κάτω κινοῦντες, τὰ μέγιστα τοῖς σφίσι προσέχουσι λυμαίνονται. Οὗτοι μὲν δὴ τοιοῦτοι τὰ πολλά. Παρά δὲ νομοθετῶν τε καὶ φιλοσόφων μᾶλλον ἤπερ τινῶν ἄλλων ἀνθρώπων πύθοιτ’ ἄν τίς τι ὑγιὲς περὶ τῶν τοιούτων. Οἱ γὰρ νομοθέται ἐπὶ τῷ κοινῷ ἀγαθῷ τοὺς νόμους ἂν τίθεσθαι ἀξιοῦντες, εἰκότως οὐδ’ ἄν παντάπασιν αὐτοῦ διαμαρτάνοιεν· οἵ τε φιλόσοφοι τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν κεφάλαιον εὐδαιμονίας ποιούμενοι, καὶ ταύτην πρὸ πάντων ἂν χρημάτων διώκοντες, εἰκότως ὡς μάλιστα, εἴπερ τινὲς ἄλλοι ἀνθρώπων, καὶ τυγχάνοιεν ἄν αὐτῆς. Ἀλλὰ δὴ ἡ τῶν πολλῶν φύσις ἀσθενεστέρα περὶ τὴν τῶν μεγίστων γνῶσίν τε καὶ κτῆσιν ἢ ὥστε τυγχάνειν ἂν τοῦ περὶ αὐτὰ ἀκριβοῦς· ὥστε εὐλαβητέον καὶ τούτων, ἅμα μὲν, τοὺς [δι’] ἀσθένειαν φύσεως ἀδυνάτους ἂν γενομέ-

[30] νους τὰ διὰ πάντων ἀληθῆ τε καὶ βέλτιστα ἀνευρεῖν, ἅμα δὲ, μή τισι σοφισταῖς ἢ καὶ ποιηταῖς περιτυχών τις, δεινοῖς οὖσι τῶν πολλῶν τε καὶ οὐδὲν εἰδότων τὰ, πολλὰ κρατεῖν, ὡς δή τισι σπουδαίοις νομοθέταις ἢ καὶ φιλοσόφοις ἐντυγχάνων, ἐξαπατηθῇ. Ἡμεῖς μὲν δὴ ἡγεμόνας ποιούμεθα τῶν λόγων, ἕνα μὲν νομοθετῶν καὶ σοφῶν τὸν αὐτὸν παλαιότατον, ὧν ἀκοῇ ἴσμεν, Ζωροάστρην, Μήδοις τε καὶ Πέρσαις καὶ τῶν ἄλλων τοῖς πλείστοις τῶν πάλαι κατὰ τὴν Ἀσίαν, τῶν τε θείων καὶ ἄλλων καλῶν τῶν πλείστων ἐπιφανέστατον γενόμενον ἐξηγητήν. Μετὰ δὲ τοῦτον, ἄλλους τε καὶ Εὔμολπον, ὃς τὰς Ἐλευσινίας τελετὰς Ἀθηναίοις ἐπὶ τῇ τῆς ἡμετέρας ψυχῆς ἀθανασίᾳ κατέστησε, καὶ Μίνω Κρητῶν γενόμενον νομοθέτην, καὶ Λυκοῦργον Λακεδαιμονίων, ἔτι δ’ Ἴφιτόν τε καὶ Νουμᾶν, οἳν ὁ μὲν τὰς Ὀλυμπιᾶσιν ἐς Δία τὸν μέγιστον θεὸν σὺν Λυκούργῳ τούτῳ κατέστησεν ἁγιστείας, ὁ δὲ Ῥωμαίοις ἄλλων τε συχνῶν καὶ τῶν περὶ θεοὺς καὶ οὗτος μάλιστα ἁγιστειῶν νομοθέτης ἐγεγόνει. Νομοθετῶν μὲν δὴ μάλιστα τούτους· τῶν δ’ ἄλλων σοφῶν, βαρϐάρων μὲν Βραχμᾶνας Ἰνδῶν, καὶ Μάγους Μήδων, Ἑλλήνων δὲ ἄλλους τε καὶ Κούρητας παλαιοτάτους τῶν ἐν μνήμῃ· οἵ γε τὸν περὶ θεῶν δευτέρων τε καὶ τρίτων καὶ ὅλως τῆς τῶν Διὸς ἔργων τε καὶ παίδων ἀϊδιότητος καὶ τοῦ παντὸς τοῦδε λόγον, ἐκλελοιπότα τέως τοῖς Ἕλλησιν ὑπὸ τῶν Γιγάντων καλουμένων, ἀσεϐῶν δή τινων καὶ θεομάχων ἀνδρῶν, ἐπανενεώσαντο, λόγων τε ἀνάγκαις ἀναμφιλέκτων καὶ

[32] μάχῃ τῇ πρὸς τοὺς Γίγαντας κρατήσαντες τῶν τἀναντία αἱρουμένων καὶ θνητὰ πάντα ἔξω τοῦ ἑνὸς τοῦ πρεσβυτάτου γεννῶντος τιθεμένων. Μετὰ δὲ τούτους, ἄλλους τε καὶ τοὺς Δωδωναίους Διὸς ἱερέας τε καὶ ὑποφῆτας, ἰδίᾳ τε Πολύειδον τὸν μάντιν, ᾧ καὶ Μίνως ἐκεῖνος ἐπὶ σοφίᾳ συνῆν, καὶ Τειρεσίαν ἄλλων τε πολλῶν καὶ καλῶν τοῖς Ἕλλησι, καὶ δὴ καὶ τοῦ περὶ ψυχῆς τῆς ἡμετέρας ἀνόδων τε ἐντεῦθεν καὶ αὖθις καθόδων ἀπείρων λόγου ἐξηγητὴν ἐπιφανέστατον γενόμενον· Χείρωνά τε τῶν κἄτ’ αὐτὸν καλῶν κἀγαθῶν ἀνδρῶν συχνῶν γεγονότων παιδευτήν τε καὶ πολλῶν καὶ καλῶν μαθημάτων τε καὶ ἐπιτηδευμάτων διδάσκαλον· τούς τε ἑπτὰ ἐκείνους τοὺς κατὰ Ἀναξανδρίδην τε καὶ Ἀρίστωνα βασιλεύοντας Λακεδαιμονίων μάλιστα ἀκμάσαντας· Χίλωνά τε τὸν Σπαρτιάτην, καὶ Σόλωνα τὸν Ἀθηναῖον, καὶ Βίαντα τὸν Πριηνέα, καὶ Θαλῆν τὸν Μιλήσιον, καὶ Κλεόβουλον τὸν Λίνδιον, καὶ Πιττακὸν τὸν Μιτυληναῖον, καὶ Μύσωνα τόν Χηνέα· ἐπὶ δὲ πᾶσι τούτοις Πυθαγόραν τε καὶ Πλάτωνα, καὶ τοὺς ἀπ’ αὐτῶν πολλούς τε καὶ ἀγαθοὺς γενομένους φιλοσόφους, ὧν εὐδοκιμώτατοι Παρμενίδης, Τίμαιος, Πλούταρχος, Πλωτῖνος, Πορφύριος, Ἰάμβλιχος. Οὗτοι γάρτοι πάντες τά τε πλεῖστα καὶ περὶ τῶν μεγίστων συνενεχθέντες ἀλλήλοις, τὰς κρατίστας δοκοῦσι τῶν ἀνθρώπων ἀεὶ τοῖς ἄμεινον φρονοῦσιν ἐξενηνοχέναι γνώμας. Οἷς δὴ καὶ ἡμεῖς ὁμολογοῦντες, οὐδ’ αὐτοί τι περὶ τηλικούτων νεωτεριοῦμεν, οὔτε τοῖς χθές τε καὶ πρώην ὑπὸ σοφιστῶν δή τινων νενεωτερισμένοις θησόμεθα. Ἐπεὶ καὶ τούτῳ αὐτῷ οὐ σμικρῷ διαφέρειν

[34] ἂν σοφοὺς σοφιστῶν, τῷ τοὺς μὲν σοφοὺς συνῳδὰ τὰ αὐτῶν τοῖς ἀεὶ παλαιοτέροις ἀποφαίνειν, ὡς οὐδὲ χρόνῳ τὴν ἀλήθειαν τῶν οὐκ ὀρθῶς, ἄν τισιν εἰρημένων τε καὶ λεγομένων νεωτέραν οὖσαν· σοφιστὰς δὲ καινοποιεῖν τὰ πολλὰ πειρᾶσθαι, τοῖς νεωτέροις μαλιστα φιλοτιμουμένους. Ταῦτα γάρ τι αὐτοῖς πρὸς τὴν δόξαν τὴν κενὴν μάλιστα φέρειν, ἧςπερ ἕνεκα ἅπαντα πραγματεύονται. Ἡμεῖς δὲ τοῖς τε ὑπὸ τῶν τὰ βέλτιστα ἀεὶ φρονούντων καὶ ἐκ παλαιοτάτου νενομισμένοις τε καὶ λεγομένοις θησόμεθα, καὶ ἅμα λογισμῷ, τῶν γε ἡμετέρων κριτηρίων τῷ κρατίστῳ τε καὶ θειοτάτῳ, ὡς δυνατὸν, δι’ ἀκριϐείας τὸ βέλτιστον περὶ ἑκάστου συνδοκιμάζοντες, ἐπικρινοῦμεν. Ποιητῶν μὲν γὰρ καὶ σοφιστῶν ὁπόσοι δὴ κακοῦργοι, λόγον μὲν οὐδένα οὐδέτεροι αὐτῶν, ὅτου τι ὄφελος, περὶ τούτων ὧν δὴ ἑκάστοτε λέγουσι, φαίνονται ἀποδιδόντες, μαντείᾳ δὲ, ἐκ θεῶν δῆθεν σφίσι φοιτώσῃ, περὶ τῶν λεγομένων εἰδέναι ἑκάτεροι προσποιοῦνται. Καὶ ποιηταὶ μὲν τῇ τῶν ὀνομάτων τε καὶ ῥυθμοῦ χάριτι τὰ λεγόμενα ἐπιχρωννύντες, ταύτῃ τε κηλοῦντες τοὺς ἀκούοντας, πείθουσι τοὺς οὐ δυναμένους διακρίνειν ὀνομάτων τε καὶ ῥυθμοῦ τοῦ τῶν λεγομένων κάλλους ἢ αἴσχους. Καίτοι οὐδὲ τοῦ πείθειν ἂν αὐτοῖς πολὺς εἴη τις λόγος, τοῦ δὲ τέρπειν μόνου τοὺς ἀκούοντας, ἄν τε δὴ πείθωσιν, ἄν τε καὶ μή· οἵ γ’ ἐοίκασι παρ’ ἐνίοις καὶ πλέον τι ἢ βούλοιντ’ ἂν διαπράττεσθαι. Σοφιστῶν δ’ εἶσὶ μὲν οἳ καὶ παραλογισμοῖς δή τισιν ἀντὶ λογισμῶν ὀρθῶς περαινομένων κεχρημένοι, τῶν προστυχόντων

[36] ἐξαπατῶσι τοὺς ἀμαθεστέρους· ὅ γε μὴν γοητικώτατοι αὐτῶν, ἔργων δή τινας τερατείας προσποιούμενοι, καὶ δόξαντες μὲν μεγάλα ἄττα θείᾳ δή τινι δυνάμει διαπράττεσθαι, τῇ δ’ ἀληθείᾳ οὐδέν τι αὐτῶν τούτων ὧν τε προσποιοῦνται καὶ ᾗ προσποιοῦνται διαπραττόμενοι, τούτοις τε καταπλήξαντες πρότερον τῶν ἀνθρώπων [τοὺς] ἀνοητοτάτους τά τε τοιαῦτα οὐ πάνυ τοι δυναμένους φωρᾷν· καὶ ἔπειτα ὑπὸ τῶν ταῦτα ἐπὶ τὸ μεῖζον λεγόντων τε καὶ συγγραφόντων συχνῶν καὶ ἄλλων ἐξαπατωμένων, τῶν δὲ καὶ τῶν τοιούτων λόγων ἔθει ἐκ νέων κρατουμένων, τὰ μέγιστα ταῖς πολιτείαις λυμαίνονται, περὶ πολλῶν καὶ ἀτόπων τῷ τε βίῳ ἡμῶν μέγα τι διαφερόντων πείθοντες. Λογισμοὶ δὲ δὴ ὀρθῶς περαινόμενοι τά τε ἀληθῆ, περὶ ὧν ἄν σκοποῖτο τις, ἐναργέστατα διδάσκουσι, παρέχουσί τε αὐτοὺς τῷ ἀεὶ βουλομένῳ περὶ τῶν αὐτῶν ζητεῖν καὶ σκοπεῖσθαι, μηδέν τι ἧττον τῶν πρότερον μεμαθηκότων μηδ’ αὐτὸν ἂν τἀληθῆ μανθάνειν, οἰκείαν, οὐκ ἀλλοτρίαν, τὴν ἐπιστήμην κτώμενον, οὐχ ὥσπερ οἱ ὑπὸ τῶν σοφιστῶν δὴ ἐξηπατημένοι, οὗτοι ἀεὶ διὰ τοὺς πρότερον πεπεισμένους καὶ οἱ μετὰ ταῦτα ἐπιγιγνόμενοι συμπείθονται.

## γʹ. Περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν τοῦ τε Πρωταγορείου καὶ τοῦ Πυῤῥωνείου.

Λόγω δὲ δὴ ἐκείνω, ἀλλήλοιν μὲν ἐναντιωτάτω, ὁμοίως δ’ ἀλαζόνε τε καὶ ἀτασθάλω, ἐκποδὼν ποιητέον·

[38] οἵω ὁ μὲν πάντα ἀληθῆ εἶναί φησιν, ὡς πάντων χρημάτων μέτρον ἂν ἄνθρωπον ὄντα, καὶ τὸ δοκοῦν ἑκάστῳ, τοῦτο καὶ ὄν· ὁ δ’ οὐδ’ ὁτιοῦν ἂν εἶναι ἀληθὲς, ὡς ἄνθρωπόν γε οὐκ ἂν ἄξιόν γε ὄντα κριτὴν οὐδ’ ὁτουοῦν, ἢ καὶ τὰ πράγματά που αὐτὰ ἄπιστα ὄντα. Ἄμφω γὰρ τούτω τὼ λόγω εὐπεριτρέπτω ὄντε, καὶ εὐελέγκτω ὁμοίως ἐστόν. Ἤν τε γὰρ πάντα ἀληθῆ τις φῇ, καὶ τὴν ἀντιφάσκουσαν τούτῳ δόξαν, ᾗ δὴ καὶ ἀνθρώπων οἱ πλεῖστοι τίθενται ὡς οὐ πάντα αὖ ἀληθῆ, ἐξ ἀνάγκης ἂν ὁμολογήσειεν· ἤν τε μήδ’ ὁτιοῦν φῇ ἀληθὲς εἶναι, καὶ αὐτὸ αὖ τοῦτο ὡς οὐκ ἀληθὲς ἀποφανεῖ. Καὶ μὲν δὴ τυγχάνουσι σχεδὸν ἅπαντες ἄνθρωποι σοφωτέρους τε ἄλλους ἄλλων ἡγούμενοι καὶ ἀμαθεστέρους, καὶ παρὰ μὲν τοὺς ἴασιν, ὡς μαθησόμενοί τι, τοὺς δὲ διελέγχουσιν, ὡς δὴ οὐκ ὀρθῶς γινώσκοντας περὶ ὧν ἂν καὶ οἴοιντό τι εἰδέναι· οὐκ ἂν, εἴ γε ἢ πάντας, ἢ μηδένα ἂν ἀληθῆ δοξάζειν ὑπελάμβανον. Ἔτι δὲ τὰ μὲν ἀντιφάσκοντα μηθ’ ἅμα ἀληθῆ μηθ’ ἅμα οὐκ ἀληθῆ ἅπαντες ἂν ἄνθρωποι φαῖεν· καὶ οὐδ’ ἂν εἷς πρός γε ταύτην τὴν ἔννοιαν ἀμφισβητήσειεν· ὡσαύτως δὲ φαῖεν καὶ τῷ ἀΐδιον εἶναι τόδε τὸ πᾶν, τὸ μὴ ἀΐδιον ἀντιφάσκειν, ὥστ’ οὐκ ἂν οὐθ’ ἅμα ἀληθῆ, οὐθ’ ἅμα οὐκ ἀληθῆ ἄμφω τούτω εἶναι τὼ δόξα, οὔτ’ ἄλλω δή τινε ὅλως τῶν οὕτως ἐχόντων, ἀλλ’ ἀληθῆ μὲν τὴν ἑτέραν πάντως, τὴν δ’ αὖ ἑτέραν ψευδῆ. Καὶ μὴν οὐδ’ ἂν περὶ τῶν μελλόντων ἔσεσθαι φήσειέ τις, ὥστ’ ἂν πάντα, ᾗ ἄν τις δοξάσειεν, ἀποβαίνειν, οὔτ’ ἂν πάντα αὖ ὡς ἑτέρως χωρεῖν· ἀλλ’ ἔστι μὲν ἃ παρὰ δόξαν αὐτῶν, ἔστι δι’ ἃ καὶ κατὰ δόξαν ἀποβαίνειν·

[40] ὥστ’ ἂν καὶ τούτων τὰς μὲν ψευδεῖς εἶναι τῶν δοξῶν, τὰς δ’ αὖ ἀληθεῖς, τώ τε λόγω ἐκείνω καὶ πάνυ ἂν ἁλίσκεσθαι ψευδῆ τε ὁμοίως ὄντε καὶ οὐδὲν ἔχοντε ὑγιές. Οὐ μὲν δὴ οὐδ’ ἐκεῖνο ὑπολογιστέον, ὃ αὖ φασί τινες, ὡς κἂν περὶ ὁτουοῦν τῶν ἄλλων ἡμῖν ᾖ τις ἀληθείας κατάληψις, ἀλλ’ οὐδ’ ὣς περὶ τῶν θείων ἀνθρώποις οὖσι προσήκοι διασκοπεῖν πραγμάτων, ὡς οὔτ’ ἂν εἰσομένως σαφὲς οὐδὲν περὶ αὐτῶν, ἅτε δὴ κρειττόνων ἢ καθ’ ἡμᾶς, οὐτ’ ἂν αὐτοῖς θεοῖς φίλον τοῦτο ἐπιτηδεύουσι, περιεργάζεσθαί τε δὴ καὶ πολυπραγμονεῖν τὰ αὐτῶν. Οὐ γὰρ ἂν θεοὶ μάτην ἡμᾶς τῶν γε σφετέρων τούτων ἐποίουν ζητητικοὺς, εἰ μήτε ἐβούλοντο καὶ ζητεῖν ἂν περὶ αὐτῶν ἡμᾶς, μήτε τινὰ καὶ ἕξιν τοῦ εἴσεσθαί ποτ’ ἂν σαφές τι περὶ τῶν τοιούτων ἔμελλον παρέξειν. Καὶ μὴν ὁμοίως ἂν ἄτοπον εἴη ὁποτερονοῦν, ἢ μηδ’ ὁτιοῦν ἂν περὶ τῶν τοιούτων ἡμᾶς διανοουμένους, ἐν ἴσῳ ἂν τοῖς θηρίοις καὶ ἀλόγοις βιοτεύειν, ἢ τὰ προστυχόντα εἰκῆ ἂν καὶ ἀβασανίστως παραδέχεσθαι· οὐ γὰρ οἷόν τε οὕτως ἔχοντας τῆς σπουδαζομένης ἂν εὐδαιμονίας τυχεῖν. Ἐπεὶ εἴποτε καὶ θεία τις τύχη συλλαβοῦσα ἐπιτυχῆ τινα τῆς περὶ ταῦτα ἀληθείας ἄνευ λόγου ποιήσειεν, ἀλλ’ οὔτ’ ἂν βεβαίως σχοίη ποτ’ ἄν τις περὶ ἅττ’ ἂν οὕτω δοξάσειεν, οὔτ’ ἂν τελέως τις εὐδαίμων γένοιτο, οὐδ’ ἐφ’ ὁσονοῦν, λόγου τε ἐστερημένος καὶ ἐπιστήμης τῆς περὶ τὰ μέγιστα, ὃς κἂν αὐτὸ τοῦτο ἀγνοοῖ, εἴτ’ εὖ ἔχει αὐτῷ τὰ πράγματα, εἴτε καὶ μή. Οὐ γὰρ ἂν ἐξαρκοῖ τὸ εὖ πράττειν οἴεσθαι, ὃ κἂν τοῖς μαινομένοις δή που συμβαίνοι,

[42] ἢν μὴ καὶ ὅπῃ ποτὲ εὖ ἔχοι ἄν τῳ τὰ πράγματα, τί τε ἀνθρώπῳ ἀγαθὸν ἢ κακὸν, καὶ ὅπῃ, ἱκανῶς εἰδῇ. Ἅμα δ’ οὔτε αἰσχροῦ τινος τοῖς θείοις μέτεστι πράγμασιν, ὥστ’ ἂν μὴ βούλεσθαι θεοὺς τὰ αὐτῶν γινώσκεσθαι, οὔτε φθονερὸν τὸ Θεῖον, ὥστ’ ἂν ἀπαξιοῦν μὴ οὐ πρὸς τοῖς ἄλλοις καὶ τῷ γινώσκεσθαι ὠφελεῖν ἡμᾶς. Οὔτ’ ἂν εἰ ὅτι μάλιστα κρεῖττόν ἐστιν ἢ καθ’ ἡμᾶς τὸ θεῖον, οὐχὶ διὰ τοῦτο κἂν ἄγνωστον εἴη ἡμῖν, λογικοῖς τε ὁμῶς καὶ οὐ παντάπασιν αὐτοῦ ἀλλοτρίοις τὴν φύσιν γεγονόσιν. Οὓς καὶ ζητητικοὺς τῶν ἑαυτοῦ διὰ τοῦτ’ ἂν ἐποίησεν, ἵνα καὶ ζητοῖμεν, καὶ ζητοῦντες μανθάνοιμέν τι περὶ αὐτοῦ, καὶ μανθάνοντες τὰ μέγιστα ὠφελοίμεθα. Χρώμενοι γὰρ ἀρχαῖς ταῖς κοινῇ πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν διδομέναις ἐννοίαις τε καὶ περὶ τοῦ θείου μαντείαις, ἢ καὶ ταῖς τῶν πλείστων καὶ βελτιόνων, καὶ ταύτας ἡμῖν βεβαίας αὐτοῖς τιθέμενοι, ἔπειτα ἀπὸ τούτων ἂν λογισμοῖς ἕκαστα ἀναγκαίοις, ᾗ ἂν οἱ σοφοὶ ὑφηγῶνται, μετιόντες, θεῶν ἂν συλλαμβανόντων, τοῦ βελτίστου περὶ ἑκάστων λόγου οὐκ ἀποτευξόμεθα. Θεοῖς δὴ τοῖς τῶν λόγων ἐφόροις εὐκτέον ἂν εἴη πρότερον, ἱλέως ἐπιπνεῦσαι τῇδε τῇ συγγραφῇ.

## [44] δ΄. Ἐς θεοὺς τοὺς λογίους εὐχή.

Ἄγετε δή, ὦ θεοὶ λόγιοι, οἵτινές τε καὶ ὅσοι ἐστὲ, οἳ ἐπιστήμας τε καὶ δόξας ἀληθεῖς ἐπιτροπεύετε, νέμετέ τε οἷςπερ ἂν ἐθέλητε κατὰ τοῦ μεγάλου πατρὸς τῶν τε πάντων βασιλέως Διὸς βουλάς. Οὐ γάρ τοι ἄνευ ὑμῶν οἷοί τ’ ἂν ἡμεῖς εἴημεν ἔργον ἀνύσαι τηλικοῦτον. Ἀλλ’ ὑμεῖς ἡμῖν τῶνδε τῶν λόγων ἡγήσασθέ τε, καὶ δότε τήνδε τήν συγγραφὴν ὡς ἐπιτυχεστάτην γενέσθαι, κτῆμα ἀεὶ προκεισομένην τῶν ἀνθρώπων τοῖς ἐθέλουσιν ἂν καὶ ἰδίᾳ καὶ κοινῇ τὸν αὑτῶν βίον ὡς κάλλιστά τε καὶ ἄριστα καθισταμένοις ζῇν.

## ε΄. Κοινὰ περὶ θεῶν δόγματα.

Νόμοι μὲν δὴ, οὓς ὡς μάλιστα πρὸς τῶν ἀεὶ θείων ἀνδρῶν γενομένων παρειλήφαμεν, οἵδε εἰσί· Θεοὺς εἶναι σύμπασαν τὴν κρείττω τε καὶ μακαριωτέραν ἢ κατ’ ἄνθρωπον φύσιν, οὓς δὴ καὶ ἀνθρώπων τῇ ἀγαθῶν τῶν σφετέρων περιουσίᾳ προνοεῖν, κακοῦ μὲν οὐδ’ ὁτουοῦν οὐδενὸς, τῶν [δ’] ἀγαθῶν ἁπάντων αὐτοὺς ὄντας τοὺς αἰτίους, εἱμαρμένῃ τέ ἀμεταστρόφῳ καὶ ἀπαρατρέπτῳ τὸ ἀεὶ βέλτιστον ἐκ τῶν ἐνόντων ἑκάστοις ἀπονέμοντας. Εἶναί τε αὐτοὺς πλείους μὲν, οὐ τοὺς αὐτοὺς δὲ θεότητι. Ἀλλὰ μέγιστον μὲν καὶ ἐξαίρετον ἕνα αὐτῶν, τὸν βασιλέα. Δία, τῶν γε ἄλλων τῇ τε ἀξίᾳ καὶ φύσει ἀμηχάνῳ ὅσῳ δια-

[46] φέροντα, αὐτὸν μὲν ἀγένητον πάντη τε ὄντα καὶ πάντως, ἅτε ἐξ οὐδενὸς τὸ παράπαν οὔτε ὄντα οὔτ’ ἂν γεγονότα πώποτε, αὐτοπάτορα δὲ, καὶ μόνον τῶν πάντων αὐτὸν ἐξ αὑτοῦ, τῶν δ’ ἄλλων ἁπάντων πατέρα τε καὶ δημιουργὸν πρεσβύτατον, ὄντως δὲ ὄντα τῷ ὄντι, καὶ εἰλικρινῶς ἕνα, καὶ τὸν ὅτι μάλιστα αὐτὸν αὑτῷ, αὐτό τε ὄντα, ὅ ἐστιν ἀγαθόν. Τοὺς δ’ ἄλλους Θεοὺς δευτέρους τε καὶ τρίτους θεότητι καθεστάναι, [τοὺς μὲν] αὐτοῦ Διὸς παῖδάς τε καὶ ἔργα, τοὺς δὲ παίδων τε παῖδας καὶ ἔργα ἔργων γεγονότας, δι’ ὧν σύμπαντα τά τ’ ἄλλα καὶ τὰ ἀνθρώπεια τὸν βασιλέα Δία κατακοσμεῖν, ἄλλον μὲν ἄλλῳ μείζονι ἢ μείονι τοῦ παντὸς τοῦδε μέρει ἐπιστήσαντα ὕπαρχον, τῶν δὲ πάντων ἡγεμόνα Ποσειδῶ τὸν μέγαν, ὃν πρεσβύτατόν τε καὶ κράτιστον τῶν ἑαυτοῦ ἐκγόνων γεγεν-, νήκει, αὐτό, τε τῶν ἑαυτοῦ ἔργων τὸ κάλλιστόν τε, ἐς ὅσον ἐνῆν, καὶ τελεώτατον. Καὶ τοὺς μὲν ἐξ αὐτοῦ Διὸς προσεχῶς γεγεννημένους ὑπερουρανίους θεοὺς εἶναι, δευτέρους θεότητι, σωμάτων μὲν καὶ ὕλης πάμπαν ἀφειμένους, εἴδη δ’ ὄντας εἰλικρινῆ αὐτὰ καθ’ αὑτὰ, καὶ νοῦς ἀκινήτους, ἀεί τε καὶ περὶ πάντα ἅμα μιᾷ τῇ ἑαυτῶν ἑκάστους νοήσει ἐνεργούς· οὓς οὐσίαν μὲν ἑκάστους ἀπ’ αὐτοῦ ἴσχειν τοῦ Διὸς, ἀμερῆ μὲν ἐξ ἀμεροῦς, ἅπαντα δ’ ἐν ἑαυτῇ συλλήβδην τε καὶ καθ’ ἓν προειληφυῖαν, ὁπόσων γ’ ἂν πλειόνων αὐτὸς ἕκαστος τοῖς ὑφ’ ἑαυτὸν αἴτιος ᾖ. Τὰ δὲ προσόντα, ἔξω ἑνὸς τοῦ πρεσβυτάτου αὐτῶν Ποσειδῶνος, ἄλλους ὑπ’ ἄλλων διατίθεσθαί τε καὶ κοσμεῖσθαι, τοῦ βασιλέως τε καὶ πατρὸς κοινωνίαν τοῖς ἑαυτοῦ παισὶν ἀλλήλοις τῶν ἀγαθῶν μεμηχανημένον· ὃ

[48] δή αὐτοῖς καὶ ἀγαθῶν μετά γε τὴν ἑαυτοῦ κοινωνίαν τὸ κράτιστον ἐμπεποιήκει. Καὶ Ποσειδῶ μὲν, ὑπ’ αὐτοῦ Διὸς μόνου κοσμούμενον, τοὺς ἄλλους ἅπαντας κατακοσμεῖν· τῶν δ’ ἄλλων μείζους μὲν εἶναι τοὺς ὑπὸ μὲν ἐλαττόνων ἂν κοσμουμένους, αὐτοὺς δὲ πλείω τε ἂν δρῶντας ἐν τῷ παντὶ τῷδε καὶ μείζω· μείους δὲ τοὺς ἐλάττω μὲν καὶ μείω δρῶντας, αὐτοὺς δ’ ἂν ὑπὸ πλειόνων κοσμουμένους. Ἄλλῃ τε οὖν διενηνοχέναι αὐτὸ αὐτοῦ σύμπαν τοῦτο τὸ γένος τῶν θεῶν, μάλιστα δὲ καὶ τῶν διακρίσεων τῇ μεγίστῃ διακεκρίσθαι διχῇ, ᾗ τὸ μὲν γνήσιόν τι θεῶν γένος ὁ γεγεννηκὼς πατὴρ ἀπέφηνεν, ὁπόσον δὴ ἀϊδίων καὶ αὐτὸ ἔτι γόνιμον ἀπετέλεσεν· ὁπόσον δὲ θνητῶν ἤδη καὶ οὐκέτι ἀϊδίων, Τιτάνων τι γένος νόθον, ἅτε δὴ γενέσεως μὲν τῆς αὐτῆς τῷ προτέρῳ κεκοινωνηκὸς, τῆς δὲ δυνάμεώς τε καὶ ἀξίας πολλῷ που λειπόμενον. Καὶ τούτους σύμπαντας οὔτ’ ἂν ἐν χρόνῳ οὐδ’ ὁτιοῦν σφῶν ἔχειν αὐτῶν, ἅτε μένονταίς τε ἀεὶ καὶ πάμπαν ἀκινήτους· κινήσεως γὰρ μέτρον τὸν χρόνον εἶναι· τοῖς δὲ αἰῶνα τοῦ βίου εἶναι μέτρον, οὗ δὴ οὐδὲν οὔτε οἰχόμενον, οὔτε μέλλον, οὐδὲ δὴ ὅλως πρότερόν τε καὶ ὕστερον, ἀλλὰ τὸ ὅλον ἅμα τε καὶ ἀεὶ ἐνέστηκεν. Οὔτ’ ἂν τόπῳ θέσιν ἔχοντι περιληπτοὺς εἶναι· σωμάτων τε γὰρ καὶ περὶ σώματα τὸν τοιοῦτον εἶναι τόπον· τοὺς δὲ σωμάτων τε χωρὶς ἔχειν τὴν οὐσίαν, καὶ τόπον οἰκεῖον ἂν σφίσιν αὐτοῖς τὴν τάξιν κεκτῆσθαι, ᾗ τῶν τε προυχόντων ἂν καὶ ὑποδεεστέρων μέσος τις εἴληπται ἕκαστος. Ἧι δὴ καὶ σύμπαντα τὸν ὑπερουράνιον χῶρον διωρίσθαι μὲν καὶ καθ’ ἑκάστους θεῶν· μάλιστα δ’ ἂν καὶ τοῦτον διακεκρί-

[50] σθαι διχῇ, ᾗπερ καὶ τὸ σύμπαν τῶν θεῶν τούτων φῦλον, ἑκατέρῳ αὐτῶν γένει ἑκατέρας καὶ χώρου μοίρας ἀποδεδομένης, τῷ μὲν γνησίῳ αὐτῶν, Ὀλύμπου, τοῦ ἄνω τε αὐτοῦ χώρου τοῦ ἐκεῖ καθαρωτέρου, τῷ δ’ αὖ λοιπῷ καὶ νόθῳ, Ταρτάρου, τοῦ κάτω τε αὐτοῦ καὶ ὑποβεβηκότος. Ἐκ δ’ ἀμφοῖν τούτοιν τοῖν γενοῖν, τοῦ τε Ὀλυμπίου καὶ Ταρταρίου, ἕν τι μέγα καὶ ἅγιον, τὸν νοητόν τε σύμπαντα καὶ ὑπερουράνιον τῷ βασιλεῖ Διΐ κατεσκευάσθαι διάκοσμον, ἀεί τε ὄντα καὶ πάντων καλῶν πλέον, δευτέρων δή τινων τούτων θεῶν ἐς ἄριθμόν τινα αὐτάρκη συνεστώτων, καὶ οὐδ’ ἂν ἑνὸς ὧν ἂν ἐγγενέσθαι ἐχρῆν ἐπιδεᾶ, διακεκριμένον μὲν καθ’ ἑκάστους αὐτῶν ὡς κάλλιστα ἀκριβεστάτῃ διακρίσει, ἵνα δὴ ὡς τελεώτατός τις καὶ ἕκαστος ᾖ αὐτῶν καὶ αὐτάρκης κατὰ δύναμιν, ἡνωμένον δ’ ἅμα τῇ ἀλλήλων κοινωνίᾳ τῶν ἀγαθῶν, καὶ φίλτατον αὐτὸν αὐτῷ. Οὕτω γὰρ ἂν ἅμα ἕκαστοί τε αὐτῶν καὶ τὸ ἐξ ἁπάντων ἕν τι ἔσεσθαι ἔμελλον, ἅτε δὴ ἔκ τε μιᾶς προϊόντες ἀρχῆς, καὶ ἐς ταὐτὸν αὖ τέλος τὸν σφέτερον πατέρα τε καὶ δημιουργὸν Δία τὸν μέγαν ἐπιστρεφόμενοι, ἄκρως τε ἕνα ὄντα καὶ ὅτι μάλιστα κράτιστον. ᾯ καὶ πάντα μὲν τἆλλα ὑπήκοά τε εἶναι καὶ φιλια, καὶ οὐδ’ ἂν ἓν πολέμιον οὐδ’ ἀνθεστηκὸς οὔτε δύσνουν· μάλιστα δὲ θεοὺς τούτους ἐκείνῳ τε ὑπηκόους σύμπαντας σὺν εὐνοίᾳ, καὶ ἀλλήλοις συνήθεις τε εἶναι καὶ φίλους καὶ ταὐτὸν φρονοῦντας, τὰ μὲν τῶν τὴν ἀξίαν σφῶν ἂν αὐτῶν νεωτέρων ἡγουμένους, τὰ δὲ τοῖς πρεσβυτέροις ἂν ἑπομένους. Ἅπαντα γὰρ ἂν εὐνομίας τε ἄκρας καὶ εὐκοσμίας μεστὰ εἶναι τἀκεῖ. Τούτοις μὲν δὴ οὕτω τε καὶ τοιαῦτα τὰ πράγματα καθεστάναι.

[52] Ποσειδῶνος δ’ οὖν, ἔτι τε τῶν ἄλλων θεῶν γνησίων τι αὐτοῦ ἀδελφῶν καὶ Ὀλυμπίων παῖδας, θεοὺς ἑτέρους τρίτους τῇ φύσει γεγονέναι, τοὺς ἐντὸς οὐρανοῦ τοῦδε, ζῶα λογικά τε καὶ ἀθάνατα, ψυχῶν μὲν ἐξ ἀναμαρτήτων, σωμάτων δ’ ἀγήρων καὶ ἀκηράτων συνεστῶτας, κακῶν δὲ πάντη καὶ τούτους ἀμιγεῖς. Ὧν διχῇ αὖ τοῖς γεγεννηκόσι διακεκριμένων τὸ μὲν γνήσιον αὖ ἀποδεδεῖχθαι οὐράνιον γένος ἄστρων, ψυχῶν μὲν τοῦ κρατίστου τε εἴδους καὶ πάντων ἂν ἐπιστήμῃ ἐφικνουμένου γεγονὸς, σωμάτων [δ’] ὅτι καλλίστων καὶ δραστηριωτάτων, κινητὸν μὲν ἤδη καὶ πλανητόν τι ὂν γένος θεῶν, κατὰ δὲ ταὐτὰ περιϊόντας ὁμαλῶς· τὸ δὲ νόθον αὖ σφίσι φῦναι χθόνιον γένος δαιμόνων, οὔτε σωμάτων ἂν παραπλησίων τήν δύναμιν οὔτε ψυχῶν γεγονὸς, ἀλλὰ τοῦ τε ὑποδεεστέρου ψυχῆς εἴδους καὶ οὐ πάντων μὲν ἂν ἐπιστήμῃ ἐφικνουμένου, ἔστι δ’ ἃ καὶ δόξῃ, ὀρθῶς μέντοι ἀεὶ χωρούσῃ, ὑπολαμϐάνοντος, οἷα δὴ καὶ ἀεὶ τοῖς ἑαυτοῦ κρείττοσιν ἕπεσθαι ἱκανοῦ, καὶ δι’ ἐκείνους ἀεί τε καὶ περὶ πάντα ἀναμαρτήτου διαγιγνομένου. Θεοῖς δὲ τοῖς ἄλλοις ὑπηρετικὸν τοῦτο τὸ γένος γεγονέναι, καὶ τῇ ἀνθρωπείᾳ ζωῇ ἤδη καὶ φύσει προσεχές. Καὶ τέτταρα δὴ ταῦτα διακεκρίσθαι θεῶν γένη, δύο μὲν ὑπερουρανίων, τὸ μὲν Ὀλύμπιον, τὸ δὲ Ταρτάριον, δύο δὲ ἐντὸς οὐρανοῦ, τὸ μὲν οὐράνιον, τὸ δὲ χθόνιον, γενητῶν μὲν πάντων τῇ αἰτίᾳ καὶ τῷ ἀφ’ ἑτέρου εἶναι, τῷ δὲ χρόνῳ ἀγενήτων τε καὶ ἀνωλέθρων, ἅτε δὴ ἐξ ἐνεργοῦ ἀεὶ ὄντος τοῦ Διὸς, καὶ οὐδ’ ὁσονοῦν ἀργὸν οὐδ’ ἄχρι ψιλῆς μένον ἂν τῆς δυνάμεως οὔτε ἔχοντος οὔτ’ ἂν ἐσχηκότος πώποτε, ἀεὶ προ-

[54] ϊόντων, καὶ οὔποτ᾽ ἂν τοῦ εἶναι οὔτε ἠργμένων, οὔτ᾽ ἂν παυσομένων. Εἶναι δὲ τοῦ θεοῦ τούτου τήν τε οὐσίαν καὶ πρᾶξιν ταὐτὸν καὶ ἀλλήλοιν ἥκιστ᾽ ἂν διακεκριμένω· ἄκρως γὰρ δὴ ἓν εἶναι, καὶ οὐδαμῇ ἂν ἕτερον αὐτὸν αὑτοῦ. Νῷ δὲ διακεκρίσθαι μὲν ἤδη πρᾶξιν οὐσίας. ἐνεργὸν δὲ καὶ τούτῳ ἀεὶ καὶ οὐδαμῇ ἂν ἀργὸν προσεῖναι αὐτὴν, ὥστ᾽ ἂν καὶ τὰ ἀπ᾽ αὐτοῦ, ὧν ἂν μηδενὶ οὐ συγγενεῖ συναιτίῳ κεχρημένος αἴτιος γίγνοιτο, ἀΐδια ἔτι προϊέναι, Ψυχῇ δ᾽ ἤδη, πρὸς τῷ τῆς οὐσίας τε καὶ πράξεως διακεκριμένῳ, καὶ μέν τι ἐνεργὸν, τὸ δὲ πλεῖστον ἀργὸν ἂν ἑκάστοτε λείπεσθαι τῆς πράξεως, ἐς ψιλὴν δή τινα ἀποπίπτον δύναμιν. Σώματι δὲ πρὸς πᾶσιν ἂν τούτοις καὶ τὴν οὐσίαν διακεκρίσθαι ἤδη ἐς εἶδος δή τι καὶ ὕλην, οὐ κινητὴν μόνον, ἀλλὰ καὶ σκεδαστὴν δή τινα ἤδη φύσιν καὶ μεριστὴν ἐπ᾽ ἄπειρον. Καὶ ταύτῃ μάλιστα ἀλλήλων τὰ ὄντα διενηνοχέναι. Τοὺς μὲν ὑπερουρανίους τῶν θεῶν οὐ τῷ χρόνῳ μόνον, ἀλλὰ καὶ τῷ ἀεὶ μένειν ἀγενήτους εἶναι, ἅτε πάμπαν τε ἀκινήτους καὶ αἰωνίους, οὐδέν τε ἐν σφίσιν αὐτοῖς οὐ πρότερον μὲν ὂν, ὕστερον δὲ εἰς γένεσιν ἰὸν, κτωμένους, αἰτίᾳ δὲ μόνον γεννιτούς· τὸ γὰρ ἀπ᾽ αἰτίου τὴν ὕπαρξιν ἴσχον πᾶν γενητὸν εἶναι, γιγνόμενον ταύτῃ, ᾗ ἀφ᾽ ἑτέρου ἀεὶ τὴν οὐσίαν διατελεῖ ἴσχον, καὶ οὐκ ἂν ἱκανὸν ἑαυτῷ ὂν πρὸς τὴν ὕπαρξιν. Τοὺς δ᾽ ἐντὸς οὐρανοῦ αἰτίᾳ μὲν γενητοὺς εἶναι· ὅσον μὲν γὰρ ἐς τὴν τῆς ψυχῆς αὐτοῖς ἥκει οὐσίαν, ἀγενήτους εἶναι, τῷ μονίμῳ τε αὐτῆς καὶ διὰ τοῦτο αἰωνίῳ· τὰ δ᾽ ἐς πρᾶξίν τε αὐτῆς καὶ σωμάτων φύσιν, γενητοὺς, τῷ κινουμένῳ τε αὐτῶν καὶ ἀεὶ γιγνομένῳ καὶ χρόνῳ ἤδη, κατὰ μέρη, ἕκαστα με-

[56] τρουμένῳ. Χρόνον γὰρ ἄρχεσθαι μὲν ἀπὸ ψυχῆς τῆς τοῦδε ἂν ἡγουμένης τοῦ οὐρανοῦ, πρῶτον τὸ ἀεὶ κινητὸν αὐτῇ μετροῦντα τῆς πράξεως· χωρεῖν δ’ ἤδη διὰ πάσης ψυχῆς τε καὶ σωμάτων φύσεως, εἰκόνα αἰῶνος γεγονότα, οὗ τὸ μὲν ἀεὶ οἴχεταί τε καὶ οὐκέτι ἐστὶ, τὸ δὲ μέλλει τε ἔτι καὶ οὔπω ἐστὶν, ἔστι δ’ ἐν ἀκαρεῖ ἀεί τε καὶ νῦν, ὃ δὴ, ἄλλο καὶ ἄλλο ἀεὶ γιγνόμενον, τόν τε οἰχόμενον, καὶ μέλλοντα διορίζει χρόνον. Καὶ τόπῳ δ’ ἤδη θέσιν ἔχοντι τοὺς θεοὺς τούτους περιληπτοὺς διὰ τὰ συνόντα σφίσι γεγονέναι σώματα· καὶ διὰ ταῦτα τούτους μὲν ἐντὸς οὐρανοῦ, τοὺς δ’ ἑτέρους ὑπερουρανίους εἶναι, ἅτε σωμάτων τε καὶ τόπου παντὸς τοῦ τοιούτου ἀφειμένους. Ἀξίᾳ μὲν δὴ συμπάντων θεῶν καὶ ὁπηοῦν γενητῶν τοὺς Ὀλυμπίους ὑπερφέρειν, ἀριθμῷ δ’ ὡς ἐλαχίστους τούτους εἶναι, ὥσπερ αὖ δαίμονας τοὺς μὲν Διὸς ἐγγυτέρω, εἰλικρινῶς ὄντος ἑνὸς, καὶ ἀριθμῷ εἶναι ἐλάττους, τοὺς δὲ ποῤῥωτέρω πλείους, ἵνα δὴ καὶ ἀριθμῷ τοῦ ἑνὸς οἱ μὲν ὡς ἐγγυτέρω, οἱ δ’ ὡς ποῤῥωτέρω ὦσι. Τῶν δ’ Ὀλυμπίων αὖ καὶ τοῦ παντὸς τοῦδε τὸν Ποσειδῶ προτετιμῆσθαι, καὶ τούτῳ δευτέρῳ τὴν τῶν ὅλων ἡγεμονίαν πρὸς τοῦ βασιλέως Διὸς ἐπιτετράφθαι, κρατίστῳ τε καὶ τὴν ἀξίαν πρεσβυτάτῳ τῶν αὐτοῦ παίδων γεγονότι. Ὃν ὁ πατὴρ οὗτος Ζεὺς ἑαυτῷ μὲν οὐκέτι ἴσον (οὐ γάρ τοι οὐδὲν ἴσον τ’ ἦν, τῷ αὐτῷ δι’ αὑτοῦ ὄντι τὸ δι’ ἑτέρου ἤδη ὂν ἴσον ἂν ἔτι ἀποβῆναι, ...........

## [58] κα΄. Περὶ θεῶν θεραπείας.

..... Καὶ μὲν δὴ καὶ μησὶ καὶ ἔτεσι τοῖς γε κατὰ φύσιν χρῆσθαι, μησὶ μὲν κατὰ σελήνην ἀγομένοις, ἔτεσι δὲ πρὸς τὰς ἡλίου τροπὰς, καὶ τούτων τὰς χειμερινὰς, ἀποκαθισταμένοις, ὅτε τὸ πλεῖστον ἡμῶν ὁ ἥλιος ἀποκεχωρηκὼς τῆς πρὸς ἡμᾶς αὖθις ἄρχεται προσόδου. Ἕνην μὲν οὖν καὶ νέαν ἄγειν, ᾗ ἂν ἡμέρᾳ ἡλίῳ ἡ σελήνη συνιοῦσα ὑπὸ τῶν ἀστρονομίας ἐμπειροτάτων κρίνηται. Τῆν δ’ ἑξῆς νουμηνίαν, ἧς ἂν ἡγοῖντο μέσαι νύκτες αἱ μετὰ τὴν τοῖν θεοῖν εὐθὺς σύνοδον, ἀφ’ ἧς τὰς λοιπὰς ἁπάσας ἡμέρας τοῦ μηνὸς ἀριθμεῖν, τοὺς μὲν πλήρεις τε καὶ τριακονθημέρους ἄγοντας τῶν μηνῶν, τοὺς δὲ κοίλους τε καὶ μιᾷ τῶν ἑτέρων ἡμέρᾳ λειπομένους. Καὶ γὰρ αὖ καὶ τῶν νυκτῶν ἑκάστων τὴν μὲν ἑσπέραν τῇ οἰχομένῃ ἡμέρᾳ, τὸν δ’ ὄρθρον τῇ ἐπιούσῃ λογίζεσθαι, καὶ τὰς μέσας νύκτας ἀμφοῖν εἶναι ὅρον τοῖν ἡμέραιν. Ἀριθμεῖσθαι δὲ καὶ ὧδε τὰς μηνὸς ἑκάστου ἡμέρας· μετὰ μὲν νουμηνίαν, δευτέραν ἱσταμένου, καὶ τρίτην, καὶ ἑξῆς, ἐς τὸ πρόσω ἰόντι ἄχρις ὀγδόης· μετὰ δ’ ὀγδόην ἱσταμένου ταύτην ἑβδόμην αὖ μεσοῦντος, εἶτα ἕκτην, καὶ ἑξῆς, ἀναστρέψαντι ἄχρι δευτέρας, μεθ’ ἣν διχομηνίαν· εἶτα δευτέραν αὖ φθίνοντος, καὶ τρίτην, καὶ ἑξῆς, ἐς τὸ πρόσω αὖ ἰόντι ἄχρις ὀγδόης· μεθ’ ἣν αὖ ἑβδόμην ἀπιόντος, εἶτα ἕκτην, καὶ ἑξῆς, αναστρέψαντι αὖ ἄχρι δευτέρας· μεθ’ ἣν ἕνην, εἶτα ἕνην

[60] τε καὶ νέαν, τοῦ μηνὸς πλήρους γιγνομένου· ἢν δὲ κοῖλος ὁ μὴν γίγνηται, μετὰ δευτέραν ἀπιόντος ἕνην τε καὶ νέαν εὐθύς. Τοῦ δ’ ἔτους νέον μὲν μῆνα ἄγειν οὗ ἂν ἡγοῖτο σύνοδος ἡ μετὰ χειμερινὰς εὐθὺς τροπὰς, ἀφ’ οὗ τοὺς λοιποὺς ἀριθμεῖν μῆνας, τὰ μὲν δωδεκάμηνα, τὰ δὲ καὶ τρισκαιδεκάμηνα ἄγοντας, τὸν ἐκ τῶν ἐμβολίμων γε ἑκάστοτε μῆνα ἐπεμβάλλοντας, ἐπειδὰν ὅ γε δωδέκατος τῶν χειμερινῶν μὴ ἐφίκηται τροπῶν. Ἡλιοτροπίοις δέ τισιν ἐς τὸ ἀκριβέστατον κατεσκευασμένοις κατὰ δύναμιν τὰς ἡλίου κρίνειν τροποῖς ................

[Πλῆθων ἐν τοῖς περὶ Νομοθεσίας δὴ λόγοις περὶ ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτοῦ ὑφηγούμενος, οὐκ ὀνομάζει, ὡς Ἀττικοὶ ἦγον, τοὺς μῆνας ..... ἀλλ’ ὅπερ ἂν ὁ τυχὼν εἴποι, ἁπλῶς οὗτος ἐκ τοῦ συμβεβηκότος καλεῖ τὸν μὲν πρῶτον, τὸν δὲ δεύτερον, καὶ τοὺς ἄλλους ὁμοίως, ὡς ἕκαστος ἔχει τάξεως πρὸς τὸν πρῶτον .......

Ἀριθμεῖν δὲ τὰς μηνὸς ἑκάστου ἡμέρας Πλήθωνι μὲν δοκεῖ εἰς τέτταρα διαιροῦντας τὸν μῆνα, τὸ μὲν ἱστάμενον, τὸ δὲ μεσοῦν, τὸ δὲ φθῖνον, τὸ δὲ ἀπιόν ............ Εὐμαρέστερον γὰρ, οἶμαι, διατίθεσθαι τὰ περὶ τὰς ἱερομηνίας οὕτω συνέβαινε, καίν’ ἄττα καθισταμένῳ ἱερά.

Ἓξ δὲ [ἱερομηνίας] ὁ τοῦ Πλήθωνος ἔχων [μὴν] πλέον τι τοῦ δέοντος ἀφαιρεῖται τῶν ἀναγκαίων ἔργων τῇ πόλει· ἀργεῖν γὰρ ἀνάγκη τοὺς ἄγοντας ἱερομηνίαν. Καὶ

[62] ἅμα τρεῖς ἐφεξῆς ἱερομηνίας συμϐαίνει ποιεῖσθαι, ἕνην μὲν Πλούτωνι, ἕνην δὲ καὶ νέαν ἐπὶ τῇ ἑαυτῶν ἐπισκέψει, νουμηνίαν δὲ τῷ Διΐ ....... Τίνες δ’ ἂν εἴησαν ἱερομηνίαι, Πλήθωνι μὲν ἥρμοττε φάναι, ὡς δή τινας ἑτέρας τῶν ἡμῖν νομιζομένων νομοθετοῦντι ....... Τῇ δ’ ἡμῶν αὐτῶν ἐπισκέψει ἱερομηνίαν ὁρίσαι ἀνὰ ἕκαστον μῆνα, καὶ ἅπαξ τοῦ μηνὸς ἐπίσκεψιν ποιεῖσθαι τῶν πεπραγμένων ἡμῖν, ὡς ἀξιοῖ Πλῆθων, οὐχ ἡμεῖς γε φαμέν· αλλὰ καθ’ ἡμέραν ἑκάστην τοῦτο ποιεῖσθαι, κ. τ. λ.

Πλήθων δὲ ἕνην μὲν την εἰκοστὴν ἐνάτην, ἕνην δὲ καὶ νέαν τὴν τριακοστὴν λέγων, οὐδὲν ἀπᾷδον ἡμῶν φησι, τό γε περὶ τὸ πρᾶγμα. Ἣν γὰρ δευτέραν φθίνοντος ἡμεῖς ἀριθμοῦμεν, ἕνην καλεῖ, ἵν’ ἴσως αὐτῷ ἱερομηνία οὖσα τῷ Πλούτωνι αὐτόθεν δὴ κἀκ τῆς προσηγορίας τὸ σεμνὸν ἔχῃ καὶ τραγικόν. Δεῖ γὰρ καί τινος τοιούτου τοῖς περὶ τὰ ὅσια πραγματευομένοις]

## [64] ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗΣ

# ΒΙΒΛΙΟΝ Β΄.

### ς΄. Περὶ εἱμαρμένης.

Πότερα δὲ ὥρισταί τε καὶ εἵμαρται ἅπαντα τὰ μέλλοντα, ἢ ἔστιν ἃ οὐδ’ ὥρισται αὐτῶν, ἀλλ’ ἀορίστως τε δὴ καὶ ἀτάκτως χωρεῖ, καὶ οὕτως ὅπως ἂν τύχοι; Δηλαδὴ ὅτι ὥρισται ἅπαντα. Εἰ γὰρ ὁτιοῦν οὐχ ὡρισμένως γίγνοιτο τῶν γιγνομένων, ἤτοι ἄνευ τοῦ αἰτίου γεγονὸς ἔσται, καί τι ἔσται τῶν γιγνομένων τὴν γένεσιν ἄνευ αἰτίου ἐσχηκός· ἢ οὐχ ὡρισμένως αὐτὸ, οὐδὲ σὺν ἀνάγκῃ τὸ αἴτιον ἀπεργάσεται, καί τι ἔσται τῶν αἰτίων, οὐκ ἀνάγκῃ, οὐδ’ ὡρισμένως δεδρακός τι ὧν ἂν δρῴη· οἷν οὐδέτερα δυνατά. Πολὺ δ’ ἔτι μᾶλλον ἀδύνατον, εἰ τοὺς θεούς τις λέγοι μεταβάλλεσθαί τε περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα, καὶ ἕτερ’ ἄττα, παρ’ ἃ ἐμέλλησαν ἀποτελεῖν, εἴτε ὑπ’ ἀνθρώπων λιταῖς ἤ τισι δώροις παραπειθομένους, εἴτε δὴ καὶ ἄλλως γέ πως αὐτὸ πάσχοντας. Κινδυνεύουσι γὰρ οἱ τὴν περὶ τῶν ἐσομένων ἀνάγκην τε καὶ εἱμαρμένην ἀναιροῦντες, ἢ καὶ

[66] τῆς προνοίας ὅλως τῶν τῇδε ἐκϐάλλειν τοὺς θεοὺς, ἢ καὶ τὴν τῶν χειρόνων αὐτοῖς αἰτίαν ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίστων περιάπτειν, ἀμήχανον ὂν, μὴ οὐ θάτερα ἀεὶ, ἤτοι τὰ πρότερον ἢ ὕστερον αὐτοῖς ἐγνωσμένα, χείρω τῶν ἑτέρων εἶναι· ὥστε τοῖν δυοῖν ἂν τούτοιν ἀσεϐημάτοιν θατέρῳ πάντως τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας περιπίπτειν. Ἀλλὰ τούτοιν γε ἑκάτερα πολλαχῇ ἀδύνατα, καὶ τὰ μέλλοντα ἅπαντα εἵμαρταί τε ἐξ αἰῶνος καὶ τέτακται, ὡς δυνατὸν αὐτοῖς, ὑφ' ἑνὶ τῶν πάντων βασιλεῖ Διῒ ταττόμενά τε καὶ ὁριζόμενα. Ὃς εἰ καὶ μὴ ὥρισται μόνος τῶν πάντων, οὐκέτ' ὄντος τοῦ καὶ τοῦτον ὁριοῦντος (ὑπὸ γὰρ τῶν ἑαυτῶν αἰτίων ἅπαντ' ἂν ὁρίζεσθαι τὰ ὁριζόμενα), ὅμως κρείττων ὢν ἢ ὥστε ὡρίσθαι, μένει τε ἀεὶ καὶ κατὰ τὰ αὐτὰ ὡσαύτως, καὶ τὴν μεγίστην πασῶν ἀνάγκην καὶ κρατίστην, αὐτὴν δι' αὑτὴν οὖσαν ἀνάγκην, οὐ δι' οὐδὲν ἕτερον, αὐτός ἐστιν ὁ κεκτημένος, ὡς τήν τε ἀνάγκην τῆς οὐκ ἀνάγκης ἀμείνω οὖσαν, καὶ αὐτῷ την μεγίστην ἀναγκῶν, ἄκρως ἀγαθῷ ὄντι, μᾶλλόν τοι προσήκουσαν. Καὶ τοῖς γε προσεχῶς προϊοῦσιν ἀπ' αὐτοῦ ταὐτὸ τοῦτο δευτέρως μεθ' ἑαυτὸν παρέχεται· οἰκεῖα γὰρ ἂν ἑαυτῷ τὰ ἀπ' αὐτοῦ παράγοι· καὶ ταῦτά τε ἅμα καὶ τἆλλα δι' αὑτὸν πάντα ὁρίζει· καὶ οὐδὲν οὐθ' οὕτω παμμέγεθες, οὔτ' αὖ

[68] πάνυ σμικρὸν οὕτως, ὥστ’ ἂν αὐτὸν μὴ οἷόν τε εἶναι τῷ ἀφ’ ἑαυτοῦ ὅρῳ ἐφικέσθαι· οὐδενὸς γὰρ ὅτου οὐκ αὐτὸν εἶναι τὸν αἰτιώτατον. Ἔτι δ’ εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ’ ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ’ ἀνθρώπων, ἀλλ’ οὐδ’ ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· οὐ γὰρ οὐδ’ ὁπότερον ἀληθὲς εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὐθ’ ὡς ἔσοιτο, οὐτ’ αὖ ὡς οὐκ ἔσοιτο. Νῦν δ’ οἵ τε θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τήν γε αὐτῶν γένεσιν ἀπειληφότα ᾗ· ἴσασι δὲ οὐκ ἄλλως, ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὔ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ τῶν τῇδε γινώσκοιεν αὐτά· οὐ γὰρ θέμις, οὐδ’ οἷόν τε θεοὺς ὑπὸ χειρόνων καὶ μὴ ὄντων γέ πω διατίθεσθαι. Ἐπεὶ κινδυνεύουσιν ἔτι οἱ θεοὺς μὲν εἶναι νομίζοντες, τὴν δὲ περὶ τὰ τῇδε αὐτῶν πρόνοιάν τε καὶ εἱμαρμένην ἀναιροῦντες, καὶ τὴν περὶ τὰ τῇδε αὐτῶν γνῶσιν ἀναιρεῖν, οὐτ’ ἂν τῷ διατίθεσθαι κρείττους ὑπὸ χειρόνων, γινωσκόντων, οὐτ’ ἂν τῷ διατιθέναι, εἴπερ μηδὲ αἴτιοί εἰσιν αὐτῶν· δέον πᾶν τὸ γινῶσκον, ἢ μεθέξει καὶ τῷ διατίθεσθαί πη ὑπὸ τοῦ γνωστοῦ γινώσκειν, ἢ αἰτίᾳ καὶ τῷ διατιθέναι, ἄλλως δ’ οὐκ

[70] ἂν γνώσεως συμϐαινούσης, μή τινος ἂν καὶ γινώσκοντι πρὸς γνωστὸν κοινωνίας γιγνομένης. Εἴτε καὶ αἴτιοι μὲν εἶεν τῶν τῇδε οἱ θεοὶ, μὴ ἀνάγκῃ δὲ μηδ’ ὡρισμένως εἶεν αἴτιοι, ὧν ἂν αἴτιοι γίγνοιντο, οὐδ’ οὕτως ἂν εἰδοῖεν ἅττα ποτὲ δράσουσι, μὴ οὐκ ἀναγκαίως τε ἐξ αἰῶνος πρός αὐτὰ καὶ ἀπαρατρέπτως ἔχοντες. Ἄλλ’ οἵ τε θεοὶ ἴσασι τὰ ἐσόμενα, καὶ ἀνθρώπων οἷςπερ ἂν ἐθέλοιεν, καὶ καθόσον, προσημαίνουσι. Καί τισι καὶ προμεμαθηκόσι τῶν ἐσομένων ἔστιν ἃ, καὶ πειρωμένοις διαφυγεῖν, οὐδὲν ἧττον ἄφυκτά τε αὐτοῖς ἐγένετο καὶ ἀναπόδραστα τὰ πεπρωμένα· τοῖς δὲ καὶ αὐτῷ τούτῳ τῷ προμεμαθηκέναι τε καὶ πειρᾶσθαι διαφυγεῖν, τοῖς πεπρωμένοις περιπεσεῖν συνέϐη, οὕτω που καὶ τοῦτο εἱμαρμένον αὐτοῖς. Οὔκουν ἂν εἶναι ἀνάλυσιν, οὐδὲ παρατροπνῖν τινα, τοῖς ἅπαξ ὑπὸ Διός τε ἐγνωσμένοις ἐξ αἰῶνος, καὶ εἱμαρμένῃ δεδεμένοις.

Ἀλλ’ εἰ πάντα ὥρισται, φαίη ἄν τις, καὶ οὐδὲν ὅ, τι μὴ ἀνάγκαις μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ’ ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ’ ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι, οὐτ’ ἂν κυρίων ἑαυτῶν ὄντων, οὐτ’ ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακοὺς, ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί. Ἀλλὰ

[72] τοὺς μὲν ἀνθρώπους κυρίους ἂν ἑαυτῶν εἶναι, οὐ τῷ μὴ ὑπ’ οὐδενὸς ἂν τοπαράπαν ἄρχεσθαι, μήτε του ἄλλου, μήτ’ ἂν αὐτῶν τῶν θεῶν, ἀλλὰ τῷ ἔχειν μέν τι ἐν ἑαυτοῖς ἄρχον, τὸ φρονοῦν, τὸ δὲ πολὺ ἀρχόμενον· καὶ τοῦ πολλοῦ τούτου ἓν, τὸ φρονοῦν τε καὶ φύσει βέλτιστον τῶν ἡμετέρων, κύριον ἂν εἶναι. Αὐτὸ δὲ δὴ τὸ φρονοῦν ὡς οὐκέτ’ ἂν ἄρχοιτο ὑπ’ οὐδενὸς, οὐκ ἂν εἴη εἰπεῖν. Ὃ πρῶτον μὲν τοῖς ἔξω πράγμασι φαίνοιτ’ ἂν ἑπόμενον. Ἔπειτα εἰ καὶ μὴ ὡσαύτως ἅπασιν ἀνθρώποις τὸ φρονοῦν τοῦτο ὑπὸ τῶν αὐτῶν πραγμάτων φαίνεται διατιθέμενον, οὐκ ἂν ὀρθῶς τις οἰηθείη μηδ’ ἐξ ἀνάγκης ἂν ἕπεσθαί αὐτὸ τοῖς πράγμασιν. Δῆλον γάρ ἐστι τοῦτο συμϐαῖνον παρά τε τὴν ἰδίαν αὐτοῦ τοῦ φρονοῦντος ἑκάστοτε φύσιν, παρά τε τὴν ἄσκησιν. Ταὐτὸ γὰρ ὁτιοῦν πλείοσι μὲν, διαφέρουσι δέ πη ἀλλήλων προσπίπτον, ὥς τι δρᾶσον, διαφέροντά τοι καὶ τὰ παθήματα ἐξ ἀνάγκης ἀπεργάσεται. Διαφέρειν γὰρ ἂν τὸ φρονοῦν τοῦτο ἑκάστοις καὶ τήν φύσιν καὶ τῆν ἄσκησιν· καὶ τῆς μὲν φύσεως τοὺς θεοὺς ἂν κυρίους εἶναι, τῆς δ’ ἀσκήσεως τὴν τοῦ [ἀσκοῦντος] εἶναι δόξαν, προτέραν αὐτῷ ἐγγενομένην, ἣν ἂν ἀμήχανον ἂν εἶναι ἐγγενέσθαι ὁτῳοῦν, μὴ οὐ θεοῦ παραστήσαντος. Κυρίους μὲν

[74] οὖν’ ἑαυτῶν τοὺς ἀνθρώπους εἶναι καθ’ ὅσον που ἄρχουσιν αὐτῶν, κἂν ἀρχόμενοι ἄρχωσιν· ἐλευθέρους δὲ εἶναί τέ πως καὶ μὴ εἶναι. Εἰ μὲν γὰρ ἐλευθερίαν τις τήν οὐκ ἀνάγκην καλεῖ, οὐκ ἂν ὀρθῶς φαίνοιτο καλῶν· ἀναγκάζοιτο γὰρ ἂν δουλείαν τὴν ἀνάγκην καλεῖν. Τῇ δὲ δουλείᾳ καὶ δεσποτείαν δήπου εἶναί τινα δεῖ, ᾗ δουλεύσει, δουλεία οὖσα. Τῇ οὖν πρεσβυτάτῃ ἀνάγκῃ, καὶ ἣ μόνη αὐτὴ δι’ αὐτὴν ἀναγκαίως ἔχει, τὰ δ’ ἄλλα ἅπαντα δι’ ἐκείνην, ἣν τἀγαθόν τε αὐτὸ καὶ τὸν Δία φαμὲν, τίς ποτε ἔσται δεσποτεία ᾗ δουλεύσει; οὐ γάρ που ἡ αὐτὴ δεσποτεία ἅμα καὶ δουλεία ἔσται. Εἰ δὲ τῷ ἄρχεσθαί τε καὶ μὴ ὁριεῖταί τις τήν τε δουλείαν καὶ ἐλευθερίαν, οὐ μόνον οὐκ ἂν ἀνθρώπων οὐδεὶς εἴη ἐλεύθερος, ἀλλ’ οὐδ’ ἂν θεῶν ἄλλος τις πλὴν Διὸς, ἄλλων μὲν ἄλλοις τῷ ἄρχεσθαι δουλευόντων, ἁπάντων δ’, ἀπὸ θεῶν ἀρξαμένων, τῷ κοινῷ δεσπότῃ Διΐ. Οὐ μέντ’ ἂν δεινόν τι εἴη τοῦτον τὸν τρόπον ἡ δουλεία καθάπαξ, οὐδὲ φευκτόν. Ἡ γὰρ τῷ ἀγαθῷ δουλεία οὐ μόνον οὐ δεινὸν, ἀλλὰ καὶ λυσιτελές τε καὶ φίλον καὶ αὐτῷ τῷ δουλεύοντι· οὐδὲν γὰρ ἂν ἀλλ’ ἢ ἀγαθὸν ἀπολαύσειέ τις δουλεύων ἀγαθῷ. Εἰ δ’ οὐ ταύτῃ τις ὁριεῖται δουλείαν

[76] τε καὶ ἐλευθερίαν, ἀλλ’ ἐκείνῃ μᾶλλον, τῷ κωλύεσθαι ἢ μὴ κωλύεσθαί τινα ζῆν ὡς βούλεται (βούλοιτο δ’ ἂν πᾶς τις πράττειν τε εὖ καὶ εὐδαιμονεῖν), ἅπας μὲν ἂν ὁ εὖ πράττων κἂν ἐλεύθερος εἴη, ἄν τε ἀρχόμενος, ἄν τε μὴ, εὖ πράττων τυγχάνῃ· ὡς γὰρ βούλεται, ζῴη ἄν· κακῶς δὲ πράττων τις οὔτ’ ἂν, ὡς βούλοιτο, ζῴη, οὐτ’ ἂν ἐλεύθερος δήπου εἴη. Κακῶς δὲ πράττειν ἀνθρώπους οὐκ ἄλλῃ ἂν ἢ κακοὺς γεγονότας, ὥστε οὐδ’ ἂν κακὸς ἀνθρώπων οὐδεὶς βούλοιτ’ ἂν γίγνεσθαι, εἴγε δὴ μηδὲ κακῶς ἂν πρᾶξαι· ἀλλ’ ἄκοντας κακοὺς τοὺς κακοὺς γίγνεσθαι ἐξαμαρτάνοντας· οὐδ’ ἂν ἐλεύθερον κακῶν εἶναι οὐδένα, τοὺς δὲ καλούς τε μόνους κἀγαθούς. Τοὺς δὲ θεοὺς κολάζειν ἂν, οὐκ αὐτὸ τοῦτο τέλος δήπου τό γε κολάζειν ποιουμένους, οὐδ’ ἐπ’ αὐτοῦ καταστρέφοντας, ἀλλὰ τὰ ἁμαρτήματα ἐπανορθοῦντας. Ἐπεὶ γὰρ οὐχ οἷόν τ’ ἦν μὴ ἁμαρτάνειν πάντως τὸν ἄνθρωπον, τοιοῦτόν τινα γεγονότα, ἔκ τε θείας καὶ ἐπικήρου φύσεως σύνθετον, ἀλλ’ ἔδει τοτὲ μὲν ἂν κατὰ τὸ θεῖον τὸ ἐν αὐτῷ ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀγόμενον εὖ τε πράττειν καὶ μακαρίως ζῆν, τοτὲ δ’ αὖ ὑπὸ τοῦ θνητοῦ τοῦ ἐν αὐτῷ κατασπώμενον ὡς ἑτέρως αὖ πράττειν· βοήθειάν τινα αὐτῷ καὶ τὴν διὰ τῶν κολάσεων ταύτην ἐπανόρ-

[78] θωσιν τοὺς θεοὺς μεμηχανῆσθαι, ὥς ποτε τῷ κολασθῆναί τε καὶ δίκην δεδωκέναι ἀπαλλαγέντι τῆς κακίας, οἷόν περ νόσου σώματος δηκτικοῖς τε καὶ ἀνιαροῖς τισι φαρμάκοις, ἄμεινόν τε πρᾶξαι γένοιτο καὶ ἐλευθερίας ἀντὶ δουλείας μεταλαϐεῖν, ὅτου μὴ ἠπιωτέρα τις ἐπανόρθωσις διὰ μοχθηροτέραν τινὰ ἕξιν δύναιτο καθικέσθαι· ὥστ’ οὐδὲν ἂν κωλύειν καὶ ἄκοντας κακοὺς ὄντας τοὺς κακοὺς ὅμως κολάζεσθαι, κακὸν μὲν οὐδὲν προσπεισομένους, ἀλλ’ ὠφελησομένους τῷ κολάζεσθαι. Ὡς μὲν οὖν εἰσί τε θεοὶ, καὶ ὡς προνοοῦσιν ἀνθρώπων, καὶ ὡς οὐ κακῶν αἴτιοι, καί ὡς εἱμαρμένῃ ἀπαρατρέπτῳ τὸ βέλτιστον ἑκάστοις ἀπονέμουσιν, ὡς γοῦν μετρίως εἰρῆσθαι, ἱκανῶς ἤδη εἰρήσθω.

### κϐ΄. Περὶ ἀθανασίας ψυχῆς τῆς ἀνθρωπίνης.

[Περὶ ψυχῆς γὰρ λέγων ἀθανασίας [ὁ Πλήθων] τὰς εἰς τὸ σῶμα καὶ τὸν βίον ἐπανόδους αὖ τῶν ψυχῶν ἐν χρόνων τακταῖς περιόδοις, ὡς δύναται, κρατύνειν πειρᾶται, ἃς οἱ πολλοὶ μετεμψυχώσεις φασὶ, καὶ εἰς τὸν οὐράνιον τόπον οὐδέποτε ταύτας ἀνάγεσθαι ἀξιοῖ.]

[80] κϛ΄. Περὶ τῶν τῶν θηρίων ἐνίοις κατὰ λόγον δρωμένων.

Περὶ δὲ τῶν τῶν θηρίων ἐνίοις κατὰ λόγον δρωμένων, ἄλλων τε δὴ συχνῶν καὶ τῶν γνωριμωτάτων, μελιττῶν τε πολιτείας, καὶ μυρμήκων οἰκονομίας, ἤπου καὶ ἀράχνου εὐμηχάνου θήρας, ἐκεῖνο φαμὲν, ὡς εἴγε ἰδίᾳ ταῦτα χρώμενα διανοίᾳ τὰ τοιαῦτα δρῴη, ἢ κρείττονι ἢ κατὰ τὴν ἀνθρωπίνην χρῷτο ἂν, ἢ χείρονι, ἢ παραπλησίᾳ. Ἀλλ’ εἰ μὲν κρείττονι ἐκέχρητο, ἐν ἅπασιν ἂν ἢ τοῖς πλείοσι κρεῖττον ἢ κατ’ ἄνθρωπον ἔπραττε· φαίνεται δ’ ἐν τοῖς πλείστοις χεῖρον πράττοντα ἢ κατ’ ἄνθρωπον. Εἰ δὲ χείρονι, οὐκ ἄν που ἑνί γε ἀεὶ ἔργῳ ἀφωρισμένως προσεῖχεν ἕκαστον αὐτῶν, καὶ τοῦτο ὡς κάλλιστα σχεδὸν πραττομένῳ· τελέας γὰρ ἂν διανοίας καὶ κρείττονος ἢ κατ’ ἄνθρωπον, τὸ πρὸς ἑνὶ ἀεὶ ἔργῳ τῶν καθ’ ἑαύτην τῷ καλλίστῳ ἔχειν ἑαυτήν. Εἰ δὲ καὶ τῇ ἀνθρωπίνῃ παραπλησίᾳ, οὐδ’ οὕτως οὔτ’ ἂν ἑνὶ ἔργῳ προσεῖχεν, οὐτ’ ἂν ἐν τοῖς πλείστοις χεῖρον ἢ κατ’ ἄνθρωπον ἔπραττεν. Ἀλλὰ δῆλα ἂν εἴη οὐκ ἰδίᾳ διανοίᾳ, τῇ δὲ τῆς τοῦδε τοῦ οὐρανοῦ ἡγουμένης ψυχῆς ἅπαντα ταῦτα ἄλλο ἐπ’ ἄλλῳ χρώμενα, καὶ νοῖς χωριστοῖς τοῖς γε σφίσιν ἄλλοις δὴ ἄλλοις ἔξωθεν ἐφεστηκόσιν, οἷς ἡ ψυχὴ αὕτη τῶν τῇδε ἕκαστα προσάγει. Οἷς δὴ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ τὰ ἀναίσθητα χρώμενα φανερά ἐστι, τά τε ἄλλα καὶ αἱ ἀμ-

[82] πίλου ἢ κολοκύντης ἕλικες, αἳ ἐὰν μὲν μηδὲν αὐταῖς τι παρακέηται τοιοῦτον, οἵῳ περιελιχθῆναι, ἐπ’ εὐθὺ φέρονται φερόμεναι, ἐὰν δὲ πτόρθος τις παρῇ, παραχρῆμα περιειλίχθησαν. Τῆς δ’ αὐτῆς ἂν ψυχῆς δυνάμει καὶ ἥ τε λίθος ἡ Ἡρακλεία ἕλκοι ἂν τὰ σιδήρια· καὶ χρυσοῦ τε καὶ τῶν ἄλλων τῶν συγγενῶν ὁ ὑδράργυρος παρὰ δόξαν ἐχόμενος ἀπαιωροῖτο· ὅ, τι τε ἂν ἄλλο παραπλήσιον γίγνοιτο, ἀπὸ ταύτης γίγνοιτ’ ἄν. Ταύτην γάρ που τὴν τόνδε ἐγγύθεν τὸν οὐρανὸν συνέχουσαν, ἐπί τε ἅπαν αὐτοῦ μέρος ἐξικνουμένην τῇ δυνάμει, καὶ τά τε ἄλλα κατὰ λόγον ἀπεργαζομένην, καὶ φίλα, ἃ ἂν δέοι, τιθεῖσαν παρὰ φίλα.

## κζ΄. Περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος.

Τῆς δ’ οὖν θνητῆς τε καὶ ἐσχάτης ταύτης γενέσεως Ἡλίῳ τε καὶ Κρόνῳ ἐξειργασμένης, κατὰ τὴν τοῦ τῶν ὅλων ἡγεμόνος Ποσειδῶνος ἐπίταξιν, ὅ τε οὐρανὸς ὅδε αὐτῷ Ποσειδῶνι ἀπετετέλεστο, καὶ ἔτι Διῒ τῷ βασιλεῖ ἡ σύμπασα τοῦ ὄντος γένεσις ἐκ πάντων τε καὶ παντοίων εἰδῶν αἰωνίων, ἐγχρόνων, ἀθανάτων, θνητῶν, ἐς ἕν τι παντελὲς σύστημα, ἐς ὅσον οἷόν τ’ ἦν, κάλλιστά τε καὶ ἄριστα ἔχον, συγκεκροτημένη ................

[84] ΝΟΜΩΝ ΣΥΓΓΡΑΦΗΣ

# ΒΙΒΛΙΟΝ Γʹ.

## ιαʹ. Περὶ μέτρου τε καὶ συμμετρίας.

Τὸ δὲ δὴ καλὸν τοῦτο ἐν μέτρῳ τε καὶ τοῖς συμμέτροις διωκτέον, καὶ ὅλως ὅρῳ, οὐκ ἐν ἀμετρίᾳ, οὐδέ γε τῷ ἀορίστῳ τε καὶ ἀεὶ πλείονι. Καίτοι ἀπορήσειεν ἄν τις, εἰ τὸ μᾶλλον ὂν καὶ ἄμεινον ἅμα, τί δήποτε οὐ τὸ ἀεὶ πλέον, ἀλλὰ τὸ μὴ τὸ μέτριον ὑπερϐάλλον, κάλλιόν τε ἅμα καὶ ἄμεινον; Ὅτι δὴ οὐ τὸ πλήθει τε πλέον καὶ ὄγκῳ μεῖζον μᾶλλον ὂν, οὐδ’ ὅλως τὸ τῷ ποσῷ ὑπερϐάλλον, ἀλλὰ πολὺ πρότερον τὸ πρὸς τὸ ἀνώλεθρον εὖ μᾶλλον πεφυκός. Εὖ δὲ μᾶλλον πέφυκε πρὸς τὸ ἀνώλεθρον τὸ ἕν τε καὶ μᾶλλον ἡνωμένον· μᾶλλον δ’ ἥνωται ἁπλοῦν μὲν συνθέτου, σύμμετρον δ’ ἀσυμμέτρου, τά τε ἀνάλογον ἔχοντα τῶν οὐκ ἀνάλογον ἐχόντων. Τὸ γὰρ αὐτὸ μέτρον, λόγος τε ὁ αὐτὸς, κοινὰ γιγνόμενα, τά τε μετρούμενα, τά τε ἀνάλογον ἔχοντα ὡς μάλιστα ἑνοῖ. Τὰ δὲ μήτε ἐκ συμμέτρων τῶν ἑαυτῶν μερῶν, ἤπου ἀνάλογον ἐχόντων, μήτε πρὸς ἃ αὐτὰ τέτακται, καὶ ὧνπερ μέρη καὶ αὐτὰ ὄντα τυγχάνει, μετρίως ἔχοντα, ἅτε δὴ οὐδ’ ἡνωμένα, πλεῖστον ἤδη καὶ τοῦ ἀνωλέθρου

[86] ἀποπίπτει. Διὰ ταῦτα ἐν μέτρῳ τε ἀεὶ καὶ ὅρῳ τὸ μᾶλλόν τε ὂν καὶ ἅμα κάλλιόν τε καὶ ἄμεινον, οὐ τῷ ἀεί τε πλείονι καὶ ὅλως ἀορίστῳ. Καὶ περὶ μὲν τούτου ἐς τοσοῦτον.

## ιδʹ. Περὶ τῆς τῶν γονέων τοῖς ἐκγόνοις οὐ μίξεως.

Πρῶτον περὶ τῆς γονέων ἐκγόνοις οὐ μίξεως σκεπτέον, οὐκ εἰ ὀρθῶς ἢ μὴ τὸ τοιοῦτον νομοθετεῖται· ἱκανὸς γὰρ ὁ ἀεὶ καὶ πᾶσιν ἀνθρώποις περὶ τούτου νομιζόμενος θεσμὸς ἀποφῆναι, ὡς τῷ ὄντι θεῖος οὗτος ὁ νόμος ἀνθρώποις, καὶ ὀρθῶς δὴ ἔχων, εἴ γε θεῖος. Περὶ γὰρ τῶν ἄλλως ἄλλοις νομιζομένων, σκοπεῖν ἂν ἡμῖν προσήκοι, ποτέροις κάλλιον νομίζεται· περὶ δὲ τῶν πᾶσι παραπλησίως νομιζομένων, οὐκέτι καὶ ἀμφισβητεῖν, εἰ οὐκ ὀρθῶς νομίζεται, δεῖ· οὐ γὰρ ἂν θείας γε ἄνευ μαντείας ὁ αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις ἐκράτει νόμος περὶ οὐδοτουοῦν. Ἀλλὰ τίνι δὴ λόγῳ ὀρθῶς νομίζεται τὰ τοιαῦτα, σκοπεῖν, τοῖς γε τελείαν τῶν νόμων ἕξουσιν ἐπιστήμην, καλῶς ἂν ἔχοι· περὶ γὰρ ἐνίων αὐτῶν οὐ πολλοῖς δῆλον τὸ τοιοῦτον. Αὐτίκα περὶ τῆς γονέων ἐκγόνοις οὐ μίξεως, ἀεὶ καὶ πάντων ἀνθρώπων ταὐτὸ νομιζόντων, οὐ πολλοὶ ἂν είδοῖεν καὶ ὅτῳ ποτὲ λόγῳ ὀρθῶς ἔχει τὸ τοιοῦτον νόμιμον· ὥστ’ οὐδ’ ἂν περίεργον εἴη, περὶ τοῦ τοιούτου διασκέψασθαι.

Ἔστι δὴ πρῶτον οὐκ ἄδηλον ἡ τῶν ἀφροδισίων πρᾶ-

[88] ξις ἐπὶ τῇ τοῦ θνητοῦ τοῦδε διαδοχῇ, καί τινα τρόπον ἀθανασίᾳ καὶ τούτου, παρὰ θεῶν ἡμῖν δεδομένη· καὶ ὡς ἑτέρου τοῦ ὁμοίου τῷ χρωμένῳ γεννητική τις πρᾶξις καὶ αἰτία ἐστί· καὶ ὡς ἄμφω τούτω, ἥ τε ἀθανασία, ἥ τε ἑτέρου ὁμοίου γένεσίς τε καὶ αἰτία, θεοῖς μάλιστα προσήκετον· ἀθάνατοί τε γὰρ θεοὶ πάντες, καὶ οἵ γε αὐτῶν κρείττους καὶ ἑτέρων ὁμοίων, οἱ μὲν ἀθανάτων κἀκείνων, οἱ δὲ τῶν γοῦν θνητῶν τῶνδε, εἰσὶ γόνιμοι. Ἔπειτ’ οὐδ’ ὡς, τούτου οὕτως ἔχοντος, εἰ μέλλοι καλῶς πράττεσθαι ἡμῖν αὕτη ἡ πρᾶξις, δέοι ἂν καὶ ὡς μάλιστα εἰκῶ τινα τῆς τῶν θεῶν γενέσεως, ᾗ γεννῶσι θεοὶ, σώζειν, οὐδενὶ δήπου τῶν καὶ ὁσονοῦν νοῦ μετεχόντων οὐδὲ τοῦτ’ ἄδηλον· οὐδ’ ὡς παντὸς μᾶλλον τὰς σπουδαίας ἡμῖν τῶν πράξεων καὶ καλῶς πράττεσθαι δεῖ· οὐδ’ ὡς καὶ σπουδαία ἡμῖν αὕτη ἡ πρᾶξις, ᾗ μάλιστα μίμησις ἀθανασίας τε τῆς τῶν θεῶν καὶ ἑτέρων αἰτίας κἀν τῷ θνητῷ ἡμῶν τῷδε ἐμφαίνεται. Ἢν γάρ τις διὰ τὸ μὴ ἐν τῷ φανερῷ αὐτὸ δρᾷν τοὺς ἀνθρώπους, καὶ αἰσχρόν τι οἴηται εἶναι, οὐκ ἂν δὴ ὀρθῶς οἴοιτο. Εἰσὶ γὰρ οἳ ἀνθρώπων, καὶ ἃ κάλλιστα νομίζεταί σφισι τῶν ἱερῶν, οὐκ ἐν τῷ φανερῷ δρῶσι τοῖς πολλοῖς. Ἀλλ’ οἱ μὲν, ἀποσεμνύνοντες τὰ κάλλιστά σφισι τῶν ἱερῶν, ἀφανῆ τοῖς πολλοῖς ποιοῦσιν, ἵνα μὴ αὐτῶν τις τῶν θεάσασθαι τέως οὐκ ἐπιτηδείων καταφρονήσειεν ἰδών. Τὸ δ’ ἀφροδισιάζειν οὐκ ἐν τῶ φανερῷ οἱ ἄνθρωποι δρῶσιν, ἵνα μὴ οἱ ὁρῶντες ἐρεθίζοιντο, σφόδρα που, οἷ ἄνθρωποι, ἐρεθίζεσθαι, εἰ καὶ ὅτι μάλιστα οὐ πρὸς ἐπιθυμίαν, ἀλλ’ οὖν πρὸς φαντασίαν γε τῆς αὐτῆς πράξεως, καὶ ἀπὸ μικρᾶς

[90] τινος προφάσεως, πεφυκότες. Πῶς οὖν ἂν καλῶς εἶχεν, εἰ γυναῖκά τις, ἣν μονολεχῇ ἑαυτῷ δέοι συνοικεῖν, ἐν ἄλλων ὀφθαλμοῖς ἐκίνει ἀπογεγυμνωκὼς, εἴτε ἀνδρῶν, εἴτε γυναικῶν, οὐ τῆς κοίτης κοινωνῶν. ἐφ’ ᾧ πρὸς φαντασίαν κἀκεῖνοι οὐκέτι εὐαγοῦς καὶ αὐτοῖς μίξεως ἐρεθισθήσεσθαι ἔμελλον, οἱ μὲν, τοῦ τῇ αὐτῇ ἂν καὶ αὐτοὶ συγγίγνεσθαι, αἱ δὲ τοῦ ὑπὸ τοῦ αὐτοῦ ἂν καὶ αὐταὶ ἀφροδισιάζεσθαι, οὐκέτι οὐδετέροις τούτων εὐαγὲς ὂν καὶ τὸ ἔργον. Τῶν δ’ οὐκ εὐαγῶν ἔργων οὐδ’ αἱ φαντασίαι δήπου εὐαγεῖς· πολὺ δ’ ἔτι ἐναγέστερον τῷ ἐρεθίζοντι γίγνοιτ’ ἂν αὐτὸ τὸ πρὸς τῶν φαντασιῶν τὰς τοιαύτας ἐρεθίζειν. Διὰ ταῦτα οὐκ ἐν τῷ φανερῷ ἀφροδισιάζειν τοὺς ἀνθρώπους νομίζεται. Ἐπεὶ ὅτι οὐκ αἰσχρὸν ἡγούμενοι οἱ ἄνθρωποι οὐκ ἐν τῷ φανερῷ αὐτὸ δρῶσι, δηλοῦσιν, ἐπειδὰν γαμῶσιν, ὡς ἐπὶ σπουδαίῳ τε καὶ σεμνῷ πράγματι ὡς πλείστους συγκαλοῦντες, καὶ μάρτυρας αὐτοὺς ποιούμενοι τῆς συνόδου, εἰδότας καὶ ἐφ’ ὅτῳ συνίοιεν. Ἅτ’ οὖν σπουδαίαν ταύτην οὖσαν ἀνθρώποις τὴν πρᾶξιν, καὶ ἐν τοῖς μάλιστά που καλῶς πράττεσθαι ἀνθρώποις δεῖ. Οὐ γὰρ ἄλλαι γε αἱ αἴσχισταί εἰσι τῶν πράξεων, ἢ αἱ μὴ καλῶς πραττόμεναι τῶν σπουδαίων. Οὐ γὰρ ἐξίσου γίγνεται, παιδιάν τέ τινα παῖσαι οὐ καλῶς, καὶ σπουδαίαν γε πρᾶξιν οὐ καλῶς μεταχειρίσασθαι. Εἰ δὲ δὴ καλῶς δεῖ αὐτὴν πράττεσθαι, καὶ εἰκῶ τινα τῆς τῶν θεῶν γενέσεως δεήσει αὐτὴν σώζειν, ᾗπερ ἔφαμεν.

## [92] ιε´. Περὶ θεῶν γενέσεως διὰ μέσης τῆς περὶ γονέων ἐκγόνοις οὐ μίξεως ὑποθέσεως.

Περὶ δὴ θεῶν γενέσεως, καὶ ὡς γεννῶσι θεοὶ, πρότερον διασκεπτέον, ἵνα ἐκείνων εἰδότες τὰς γενέσεις, σκοπῶμεν ἤδη, καὶ ὅπη, εἰ ἐκγόνοις γονεῖς μιγνύοιντο, ταῖς ἐκείνων ἂν δρῷεν γενέσεσιν ἀπεοικότα. Ζεὺς μὲν οὖν, ὁ ἀνωτάτω βασιλεύς τε καὶ πατὴρ πρεσβύτατος, οὓς ἂν αὐτὸς θεῶν γεννῷ, ἀμήτορας γεννῷ ἂν, οὐδενὸς αὐτῷ ὄντος τοῦ ἐν θήλεος λόγῳ συναιτίου, ὧνπερ ἂν αὐτὸς αἴτιος εἴη, ἐσομένου. Ὧ καὶ, ἅτε μηδενὸς τοιούτου ὄντος, τὰ ἔκγονα ὕλης πάντη τε καὶ πάντως χωριστὰ γεννᾶταί τε καὶ πρόεισι. Τὸ γὰρ θῆλυ εἶναι, τὸ ἐς τὴν ὕλην ἅπασιν, ὧν ἂν παρῇ τῇ γενέσει, συμβαλλόμενον. Ὥσθ᾽ ὧν ἂν θῆλύ τι τῇ γενέσει μὴ παρῇ, τούτοις οὐδ᾽ ἂν ὕλης τι εἰκότως ἐπιγίγνοιτο, οὐδ᾽ ἄν που ἐνείη τῇ οὐσίᾳ. Εἰ γάρ τι καὶ τοῖς ἐξ ἑαυτοῦ Ζεὺς ἄλλῳ ἐς ἄλλου γένεσιν συγχρῷτο, ἀλλ᾽ ἐν παραδείγματος, οὐκ ἐν θήλεος λόγῳ συγχρῷτο ἄν. Ἕνα μὲν οὖν θεῶν τὸν κράτιστον, ὃν δὴ Ποσειδῶ καλοῦμεν, ἑαυτῷ ἀμέσῳ παραδείγματι χρώμενος γεννῷ ἄν· τοὺς δ᾽ ἄλλους πάντας ἄλλον ἄλλου θεοῦ τῶν ἐξ ἑαυτοῦ γεννῷ ἂν εἰκῶ, ὡς πάμμεγα τὴν τοιαύτην γένεσιν φαυλοτάτῳ πράγματι εἰκάσαι, τῇ διὰ πλειόνων ἐνόπτρων εἰδωλοποιΐᾳ· καὶ γὰρ κἀνταῦθα τὸ σῶμα τὸ

[94] ὁρώμενον, ἕν τι ἄμεσον ἑαυτοῦ εἴδωλον συστῆσάν πως, τὰ ἄλλα ἤδη πάντα ἄλλο ἀπ’ ἄλλου συνίστησιν εἰδώλου. Εἰ δὲ τούτοις ἄλλων τε δεῖ καὶ πλειόνων τῶν ἐνόπτρων πρὸς τὴν τοιαύτην εἰδωλοποιΐαν, τὴν μονάδα ἐννοῶμεν, ὡς τὸν ἀριθμὸν σύμπαντα αὕτη ἄλλον ἐς ἄλλου σύστασιν προσλαμβάνουσα γεννᾷ, συναιτίου ἑτέρου οὐδοτουοῦν προσδεομένη. Ἀλλὰ καὶ αὕτη ἡ γένεσις ἄλλῃ τε τῇ τῶν θεῶν τῶν ὑπερουρανίων ἐκ Διὸς γενέσει ἀπεοίκοι ἂν, καὶ ᾗ ἐς ἄπειρον αὕτη πρόεισι τῇ δυνάμει, ἐκείνης καὶ ἔργῳ καὶ δυνάμει ἐς ὡρισμένον τι περαινούσης πλῆθος. Τὴν μὲν γὰρ μονάδα, προσλαμβάνουσαν ἂν τὸν ἀεὶ γιγνόμενον ἀριθμὸν, ἕτερον γεννᾷν, ὥστ’ εἰκότως καὶ ἐπ’ ἄπειρον ἂν αὐτῇ τὴν τῶν ἀριθμῶν γένεσιν προϊέναι, ἀεὶ τὸν γιγνόμενον ἂν καὶ προσλαμβάνειν δυναμένῃ. Τὸν δὲ Δία τὸ ἤδη γεγονὸς εἶδος οὐ προσλαμβάνοντα, διαιροῦντα δὲ, καὶ τὰ αὐτῷ συλλήβδην τε καὶ καθ’ ἓν ἐνόντα ἀναπτύσσοντα, καὶ τὸ μὲν ἀφαιροῦντα, τὸ δὲ λείποντα, οὕτω τὴν τῶν ἄλλων αὖ γένεσιν ἀπεργάζεσθαι εἰδῶν. Ἅτ’ οὖν κατὰ ἀντιφάσεις διαιροῦντα, καὶ οὔτε μέσον ἂν λείποντα οὐδένων οὐδὲν, οὔτ’ ἐπ’ ἄπειρον ἂν ἐνὸν τὰς τοιαύτας προχωρεῖν διαιρέσεις, παύεσθαί ποτε διαιρέσεως τῆς τοιαύτης, ὡρισμένον τέ τι γεγεννηκότα εἰδῶν πλῆθος, καὶ ἐς ἕν τι αὐτὸ σύστημα πάντων τε καὶ παντοίων εἰδῶν πλῆρες συστησάμενον. Ὡς δ’ οὕτω που ὁ Ζεὺς τὸ τῶν ὑπερουρανίων τούτων θεῶν πλῆθος γεννᾷ, καὶ οὔτε ἄλλῳ [ἐς] τῆν ἄλλου γένεσιν συγχρώμενος, καὶ δὴ δεικτέον, ἐπεὶ ὅλως καὶ νῦν τῆς τούτων τῶν θεῶν ἐκ Διὸς γενέσεως ἐμνήσθημεν. Τριττὸν τὸ τῆς γενητῆς συμπάσης οὐσίας εἶναι εἶδος, καὶ οὐ πλεοναχῆ τήν γε

[96] πρώτην διαιρούμενον. Τὸ μὲν γὰρ αὐτῆς αἰώνιον εἶναι, ἀκίνητόν τε δὴ πάντη τε καὶ πάντως, καὶ οὐδοτιοῦν ἑαυτοῦ οὔτε παριὸν οὔτ’ αὖ μέλλον ἔχον, ἀλλὰ τὸ σύμπαν ἐνεστηκὸς ἀεί· τὸ δ’ ἔγχρονον μὲν, ἅτε κινούμενον τῷ πλείστῳ ἑαυτοῦ, ἀΐδιον μέντοι, καὶ οὔτ’ ἂν ἠργμένον χρόνῳ, οὔτ’ ἄν ποτε παυσόμενον τὸ δ’ ἔγχρονόν τε ὁμοῦ καὶ θνητὸν, ἀρχήν τε τῷ χρόνῳ τοῦ βίου καὶ τελευτὴν ἴσχον. Τούτων τῶν οὐσιῶν τριῶν οὐσῶν, τρεῖς που δεῖ καὶ τὰς γενέσεις εἶναι· καὶ μέγα τι διαφερουσῶν ἀλλήλων τῶν οὐσιῶν, μέγα τι ἀλλήλων καὶ τὰς γενέσεις διαφέρειν. Ἀνάλογον γὰρ ἔχειν δεῖν οὐσίας τε γενέσεσι καὶ γενέσεις οὐσίαις. Οὐκοῦν εἴ τι τῶν τῆς αἰωνίου οὐσίας ἐκ Διὸς προαιωνίου τε ὄντος καὶ μόνου δὴ τῶν πάντων αὐτοῦ δι’ αὑτὸν, κἂν ἅπασα αὕτη ἡ οὐσία ἐκ Διὸς εἴη· οὐ γὰρ ἄν που αὐτῆς τοῦ μὲν ἐκ προαιωνίου, τοῦ δ’ οὐκέτι ἐκ προαιωνίου ὄντος, ἔπειτα ἅπασα ἂν αἰώνιος εἴη. Ἀλλ’ ὁ μὲν προαιώνιος Ζεὺς ἅπασαν ἂν γεννῷ αὐτὸς τήν γε αἰώνιον οὐσίαν· τὴν δὲ τῆς ἐγχρόνου μὲν, ἀϊδίου δὲ, γένεσιν τῇ αἰωνίῳ ἂν ταύτῃ οὐσίᾳ ἐπιτρέποι· τὴν δ’ αὖ τῆς ἐγχρόνου τε ὁμοῦ καὶ θνητῆς, ταύτῃ αὖ τῇ ἐγχρόνῳ [καὶ] ἀϊδίῳ· ἵνα οὐσία ἑκάστη τὴν ἑαυτῇ προσήκουσαν ἀπολαμβάνῃ γένεσιν, καὶ ἔνθεν περ ἑκάστη παράγηται, ὅθενπερ καὶ παράγεσθαι αὐτὴν δεῖ, ἀπὸ τῆς ἑαυτῆς προσεχῶς ὑπερκειμένης ἑκάστης. Εἰ μὲν οὖν ἅπαντα τὰ κατὰ ταύτην τὴν οὐσίαν εἴδη καὶ ἀλλήλοις ἴσα ἦν, προὖχον δ’ ἦν ἐν αὐτοῖς οὐδ’ ὁτιοῦν, οὐδὲ λειπόμενον ἄλλο ἄλλου, κἂν ἐκ Διὸς μόνως ἅπασα αὕτη ἡ οὐσία ἦν. Ἐπεὶ δὲ τὸ μὲν τοιοῦτον οὔτ’ ἔδει οὔτε γέγονεν (ἔδει δὲ πρῶτον μὲν πάντων τε καὶ παντοίων εἰδῶν

[98] ταύτην γενέσθαι τὴν οὐσίαν πλήρη, τῆς παμμεροῦς ἕνεκα τελειότητος· ἔπειτα τῶν τε ἐν αὐτῇ ἕκαστον ἕν τε καὶ μονογενὲς, τό τε αὖ σύστημα τὸ ἐξ ἁπάντων ὅλον τέ τι καὶ ἓν τῇ κοινωνίᾳ, ἵνα δὴ κατά τε μέρη καὶ ὅλον ἅμα αὐτογενεῖ ὄντι τῷ γεννῶντι ὡς οἰκειότατα αὕτη ἡ οὐσία ἔχοι)· ἐπεὶ ταῦτα οὕτως ἔδει, πρῶτον μὲν ἕν γέ τι ἑαυτοῦ μόνως εἰκῶ πεποιημένος γεννᾷ, καὶ τοῦτο μὲν κράτιστον οὐσίας συμπάσης τῆς γε δὴ γενητῆς ἀποτελεῖ, ἔπειθ’ ἕτερον τούτου αὖ εἰκῶ, καὶ τἆλλα ἤδη ἄλλο ἄλλου εἰκῶ, λειπόμενα δὲ ἕκαστα ἑκάστων, ὥσπερ καὶ εἰκόνες εἰσίν. Ὡσπερανεὶ καὶ θνητῶν τις πατὴρ ἕνα μὲν τῶν παίδων ἑαυτῷ ὅτι ὁμοιότατον γεννήσειε, τοὺς δ’ ἄλλους τούτῳ τε ἤδη καὶ ἄλλον ἄλλῳ ἐοικότα. Ἀλλὰ τοῦτο μὲν, ὁπότε γίγνοιτο, παρὰ ῥώμην τε καὶ ἀῤῥωστίαν τὴν προϊεμένου γίγνοιτ’ ἂν σπέρματος. Τὸ γάρ που σπέρμα ἑκάστοτε τὸ τοιοῦτον, ὡς μὲν μάλιστα ἐῤῥωμένον προεθὲν, δι’ ἱκανήν τινα πέψιν ἐς ἄῤῥεν τε ἔκγονον καὶ τῷ πατρὶ ὁμοιότατον ἀποϐαίνειν· ἧττον δ’ ἐῤῥωμένον, ἤτοι ἐς θῆλύ τε καὶ τῷ πατρὶ ὅμοιον, ἢ ἐς ἄῤῥεν μὲν, τῇ δὲ μητρῖ ὅμοιον, ἢ ἐς τῇ τε μητρὶ ὅμοιον καὶ θῆλυ, ἢ οὔτε τῷ πατρὶ ὅμοιον, οὔτε τῇ μητρὶ, ἄλλῳ δέ τῳ τῶν οἰκείων, κατὰ λόγον τὸν τῆς πέψεως, ἢ οὐδὲ τῶν οἰκείων τῳ, ἀλλ’ ἁπλῶς ἀνθρώπῳ, ἢ οὐδ’ ἀνθρώπῳ ἐς ἅπαν ὅμοιον, ἀλλὰ καὶ ἐς ἕτερόν ποτέ τι ἀποβαίνειν, ἐπειδὰν μηδὲ πάμπαν γε ἄγονον δι’ ἀπεψίαν τὴν ἐσχάτην προΐηται. Οὐ γὰρ ἀπὸ διανοίας τοὺς ἀνθρώπους τοιάδε ἢ τοιάδε γεννᾷν· ἀλλὰ δημιουργεῖν μὲν ἀπὸ διανοίας,

[100] γεννᾷν δὲ τῇ φύσει, ᾗ ἂν τὸ θνητὸν τόδε σῶμα ἑκάστοτε, ἄλλοτε ἄλλως, διατίθηται. Τὸν δὲ Δία τῇ ἄκρᾳ ἁπλότητι οὐκ ἄλλως μὲν γεννᾷν, δημιουργεῖν δ’ ἂν ἄλλως· οὐδὲ γεννᾷν μὲν ἕτερα, ἕτερα δ’ ἂν δημιουργεῖν· ἀλλὰ τὰ αὐτά καὶ δημιουργεῖν ὁμοῦ καὶ γεννᾷν, σύν τε νοήσει τῇ τοῦ οἷα ἂν γενέσθαι ἕκαστα δέοι, γεννῶντα, σύν τε αὖ τῷ πεφυκέναι ὡσαύτως παράγειν ἀεὶ τὰ παραγόμενα, δημιουργοῦντα. Ἄνθρωπον μὲν γὰρ οὐκ ἂν τοὺς παῖδας, οἵους διανοοῖτο ἑκάστοτε, γεννᾷν· τὴν δ’ οἰκίαν καὶ τἆλλα σκευαστὰ δημιουργεῖν ἂν, οἷα διανοοῖτο, ὁπότε δὴ καὶ διανοοῖτο. Τὸν δὲ Δία, πεφυκότα ἀεὶ οὕτως, ὥστε βούλεσθαί τε ἅμα καὶ δύνασθαι, τοιαῦτα ἀπεργάζεσθαι ἕκαστα, οἷα ἂν πρὸς τὴν τοῦ ὅλου ἔργου τελειότητα κάλλιστά τε ἕξοντα καὶ ἄριστα εἰδοῖ, εἰκότως, καὶ δημιουργεῖν τε ὁμοῦ τὰ αὐτὰ καὶ γεννᾶν. Καὶ ἕν τε δὴ καὶ μονογενὲς ἕκαστον ποιεῖν, ἵνα μηδὲ περίεργον ποιοῖ μηδὲν, καὶ τὸ ἐξ ἁπάντων αὖ ὅλον τέ τι καὶ ἓν, ᾗ ἐνεχώρει. Ἐνεχώρει δ’ οὐκ ἄλλῃ, ἢ τῇ κοινωνίᾳ· κοινωνία δ’ οὐδεμία ἄλλη ἂν μᾶλλον ἔπρεπεν αὐτοῖς, ἢ εἰ ἄλλο ἄλλου εἰκὼν ἐγίγνετο· οὕτω γὰρ ἂν ἅμα τε ἕτερον ἕκαστον γίγνοιτο εἶδος, καὶ κοινωνία τις εἴη εἰκόνι τε καὶ παραδείγματι. Καὶ οὐ μόνον τῶν γενῶν τὰ εἴδη εἰκόνες εἶεν ἂν, ἀλλὰ κἂν αὐτῶν τῶν γε ἀπὸ ταὐτοῦ τινος γένους ἀντιδιαιρουμένων ἀλλήλοις εἰδῶν, ἅτε ἐς τελεώτερά τε ἄττα ἀεὶ καὶ ἀτελέστερα διαιρουμένων, θάτερα τὰ ἀτελέστερα τῶν τελεωτέρων εἰκόνες εἶεν, τὸ ἔγχρονον εἶδος τοῦ γε αἰωνίου, τοῦ τε ἀθανάτου τὸ θνητὸν, καὶ

[102] λογικοῦ αὖ τὸ ἄλογον, τά τ’ ἄλλα ἅπαντα ταύτῃ· ἅμα δ’ ἐν τῇ κοινωνίᾳ τῇ τοιαύτῃ κἂν τὰ ὑποδεέστερα εἰκότως παρὰ τῶν προυχόντων ἑαυτῶν τὰ προσόντα σφίσιν ἴσχοι, ὥστε καὶ ἔτι ἂν μᾶλλον ἀλλήλοις κοινωνεῖν, ἅτε πρὸς τῷ ὑποδεέστερα εἶναι, καὶ ἅμα οἰκείως ἂν ἔχοντα τοῖς προύχουσιν, ᾗ δὴ δεῖ ἔχειν τὰ ὁτιοῦν παρ’ ἑτέρων ληψόμενα. Ὑποδεέστερά τε γὰρ καὶ ἅμα οὐκ ἀλλότρια εἶναι ἐκείνοις δεῖ, παρ’ ὧν τι λήψεται. Τὸν οὖν Δία οὐσίαν μὲν ἑκάστοις τῶν γε αἰωνίων τούτων αὐτὸν παράγειν, παραδείγμασι μόνον τοῖς ἤδη οἱ προγεγενημέναις ἄλλοις ἐπ’ ἄλλων γένεσιν συγχρώμενον, τῆς τε ἀλλήλων αὐτῶν κοινωνίας ἕνεκα, εἰκόνων τε αἐὶ ἐν παραδείγμασι καὶ παραδειγμάτων ἐν εἰκόσι κατὰ τὴν ὁμοιότητα ὄντων, καὶ ἅμα ἑτερότητος, τῷ ἕτερον ἑτέρου αἰεὶ ταύτῃ αἴτιον, ᾗ που καὶ δεῖ, γίγνεσθαι, [πάντων δὲ] τὸν Δία, καθ’ αὑτὸν μὲν τοῦδ’ ἑνὸς δὴ, σὺν δὲ τῷδε τῷ παραδείγματι ἑτέρου αὖ τοῦδε, καὶ σὺν ἄλλῳ ἄλλου ἀεὶ, ἄχρι τῆς τοῦ παντός τε καὶ ὅλου συστήματος πληρώσεως. Παράγοντα δ’ οὕτω αὐτὸν τὰς οὐσίας ἑκάστοις αὐτῶν (αὐτῷ γὰρ καὶ προσήκειν ἂν τήν τῶν κρατίστων γένεσιν, οἵα δὴ ἡ αἰώνιος αὕτη σύμπασα οὐσία ἐστὶ), τὴν τῶν προσόντων αὖ ἑκάστοις ἐπικόσμησιν ἄλλοις ἤδη ἐπιτρέπειν, [τῶν] προυχόντων ἀεὶ τὰ ὑποδεέστερα κοσμησόντων. Καὶ πέρας δὴ τοῦτο τοῖς θεοῖς τούτοις τὴν κοινωνίαν λαμβάνειν, καθ’ ἣν ἐς ἕν τι ἅπαντες σύστημα καὶ κόσμον ἕνα τὸν κάλλιστον ἐκ τῶν ἐνόντων συνεστᾶσι.

[104] Δῆλαι δ’ εἰσὶ καὶ ψυχαὶ αἵ γε ἡμέτεραι ὑπὸ ψυχῶν τῶν ἑαυτῶν προυχουσῶν θείων κοσμούμεναι, οὐκ ἂν καὶ ὑπὸ τῶν αὐτῶν παραγόμεναι, ἀλλ’ ἐκεῖθεν, ὅθεν περ κἀκεῖναι, εἴ γε δὴ καὶ τῆς αὐτῆς αὐταῖς οὐσίας ἀϊδίου καὶ αὗταί εἰσιν. Εἰ δ’ αὗταί γε οὕτω, κἂν οἱ ἐκεῖ θεοὶ οὕτω μὲν παράγοιντο, οὕτω δ’ ἄν, ὥσπερ που καὶ λέγεται ἡμῖν, κοσμοῖντο, ἵνα δὴ καὶ ἀνάλογον τά τε τῇδε τοῖς ἐκεῖ, τά τε ἐκεῖ ἔχοι τοῖς τῇδε. Τῇ μὲν οὖν τῶν θεῶν τούτων ἐκ Διὸς γενέσει, ἅτε ἀμητόρων γεννωμένων, οὐκ ἂν πάνυ τοι ἥ γε ἀνθρωπίνη ἐοίκοι γένεσις· τῇ δ’ αὖ τῶν ἄλλων πάντων καὶ ἀθανάτων καὶ θνητῶν ἔκ τε τούτων τῶν θεῶν καὶ παίδων τῶν τούτων, μᾶλλον ἂν ἤδη καὶ τὴν ἀνθρωπίνην ἐοικέναι. Τὸν μὲν γὰρ πρεσβύτατον τῶν Διὸς παίδων Ποσειδῶ, εἶδός γε ὄντα, οὐ τάδε δή τι, οὐδὲ τάδε, ἀλλ’ αὐτὸ τὸ σύμπαντα εἴδη καθ’ ἕν τε καὶ συλλήβδην περιειληφὸς γένος εἰδῶν, καὶ τοῦ τῇδε ἔργῳ εἴδους παντὸς αὐτὸν εἶναι μετὰ Δία τὸν αἰτιώτατον. Δι’ ἃ δὴ καὶ ἀῤῥενωπότατον τοῦτον εἶναι θεῶν· τὴν γὰρ ἄῤῥενα εἶναι φύσιν τὴν τοῖς γεννωμένοις τὸ εἶδος ἐπιφέρουσαν. Τὴν δ’ αὖ τούτου εἰκῶ πρεσβυτοίτην γεγενημένην ἐκ Διὸς Ἥραν περιειληφέναι μὲν καὶ αὐτὴν ὡσαύτως σύμπαντα εἴδη, οὐ μέντοι καὶ τήν γε ἴσην Ποσειδῶνι εἰληχέναι δύναμιν. Τὸν μὲν γὰρ ἔργῳ ἔν γε ἑαυτῷ ἅπαντα ἔχοντα εἴδη, καὶ τοῦ τῇδε ἔργῳ εἴδους παντὸς αὐτὸν γίγνεσθαι αἴτιον· τὴν δὲ ἔργῳ αὖ καὶ αὐτὴν ἅπαντα κεκτημένην εἴδη, οὐκέτι καὶ τοῖς τῇδε ἔργῳ οὐδοτουοῦν εἴδους αἰτίαν γίγνεσθαι· ἀλλ’ ὕλης μάλιστα τῆς πρεσβυτάτης, ἣ αὖ ἅπαντα εἴδη δυνάμει, οὐκ ἔργῳ, ἐστίν·

[106] ἔργῳ γὰρ οὐ μόνον οὐχ ἅπαντα, ἀλλ’ οὐδ’ ὁτιοῦν ἐστιν αὐτῶν. Ταύτῃ τοι καὶ θήλειαν ταύτην τὴν θεὸν, θηλειῶν τε τὴν πρεσϐυτάτην γεγενῆσθαι. Τὴν γὰρ θήλειάν που εἶναι φύσιν, τὴν τήν τε ὕλην καὶ τροφὴν τῶν γεννωμένων ἑκάστοις παρεχομένην. Καὶ ἔχειν δὲ τὼ θεὼ τούτω πρὸς ἀλλήλω ἀντιστρόφως τρόπον τινὰ, ᾗ ᾗ καὶ σπέρμα τε καὶ αἷμα τὸ καταμήνιον πρὸς ἀλλήλω. Τοῦ μὲν γὰρ σπέρματός τε καὶ αἵματος τοῦ καταμηνίου, ἀμφοῖν οὐκ ἔργῳ, ἀλλὰ δυνάμει τό γε ἐσόμενον ἐχόντοιν εἶδος, τὸ μὲν σπέρμα ἐνεργείας τε ἐγγυτέρω μᾶλλόν ἐστι, καὶ τὸ εἶδος αὐτὸ μᾶλλον ἐπιφέρει· τὸ δ’ αἷμα τὸ καταμήνιον πоῤῥωτέρω ὂν ἐνεργείας, ὕλη δὲ μᾶλλον τῷ γεννωμένῳ οἰκειοτάτη τις γίγνεται. Τοῖν δὲ θεοῖν τούτοιν ἔργῳ ἀμφοῖν ἅπαντα καθ’ ἓν κεκτημένοιν εἴδη, Ποσειδῶν μὲν καὶ τῶν τῇδε ἔργῳ εἰδῶν αἴτιός τε καὶ παραγωγός ἐστιν, Ἥρα δὲ, τῆς τῇδε ὕλης. Ὥστε εἰ καὶ φαύλη τις εἰκὼν καὶ πόῤῥω δὴ τῆς γε θείας καθαριότητος, ἀλλ’ οὖν τῆς τε πράξεως τούτοιν τοῖν θεοῖν καὶ σχέσεως τῆς πρὸς ἀλλήλω, οὐ πάνυ τοι ἀλλοτρία. Τὼ οὖν θεὼ τούτω ἀλλήλοιν κοινωνοῦντε, τῶν τῇδε τὰ ἀθάνατα αὐτὼ μάλιστα ἀπογεννᾷν. Καὶ τὼ τούτοιν δὴ κρατίστω παῖδε, Ἥλιόν τε δὴ καὶ Σελήνην, ἔχοντε αὖ καὶ τούτω παραπλησίως πρὸς ἀλλήλω, ᾗ δὴ καὶ τὼ αὐτὼ γεγεννηκότε θεὼ, παραπλησίως αὖ καὶ αὐτὼ τὰ θνητὰ ἀπογεννᾷν, Ἥλιον μὲν τὸ ἐν αὐτοῖς εἶδος ἔκ τε εἰδῶν καὶ θεῶν τῶν Ταρταρίων ἐπιφέροντα, Σελήνην δὲ τῆς ὕλης μάλιστα ἡγουμένην ἑκάστοις. Εἶναί τε καὶ τούτω τὼ θεὼ, Ἥλιον μὲν τῶν γε ἐντὸς οὐρανοῦ ἀῤῥένων τὸν πρεσϐύτατον, Σελήνην

[108] δὲ τῶν αὐτῶν αὖ πρεσβυτάτην θηλειῶν. Καὶ τὼ τούτοιν δὲ, ἔκ γε θεῶν τῶν αἰωνίων, τῆς τῶν θνητῶν κοινωνὼ γενέσεως, Κρόνον τε καὶ Ἀφροδίτην, παραπλησίως καὶ αὐτὼ, ἐν τῶν γε θεῶν τοῖς Ταρταρίοις, πρὸς ἀλλήλω ἔχοντε, ᾗ δὴ μάλιστα καὶ Ποσειδῶν Ἥρα τε ἐν θεῶν ἔχετον τοῖς Ὀλυμπίοις, τὰ τῇδε θνητὰ καὶ αὐτὼ παραπλησίως ἀπογεννᾷν, Κρόνον μὲν τὸ εἶδος τὸ τοιοῦτον δήπου ἑκάστοις παρεχόμενον, Ἀφροδίτην δὲ, τὴν ὕλην· οὐ τήν γε πρεσβυτάτην τε καὶ ἀνώλεθρον ἅμα καὶ αὐτὴν, ἀλλ’ ὅση τις, σωμάτων τῶν γε πρεσβυτάτων καὶ τῶν ἄλλων στοιχείων γιγνομένων ἀποκρινομένη, ἐπιφερομένη τε, ὡς κἀκεῖνα, τὰ εἴδη, ἅ γε ἐν τοῖς ὅλοις ὑπάρχοντα σώμασιν ἐτύγχανεν, ὅθεν περ καὶ ἀποκέκριται, θνητὰ δ’ ἤδη αὐτὰ ἐπιφερομένη, οἰκειοτάτη αὐτὴ ὕλη σώμασι τοῖς γε θνητοῖς γίγνεται ἑκάστοτε. Ὡς δ’ οὐ μόνοις τοῖς περὶ Ἥλιον θεοῖς ἡ τῶν θνητῶν αὕτη ἐπιτέτραπται γένεσις, ἀλλὰ καὶ θεῶν τῶν αἰωνίων εἰσὶν οἳ, οἱ Τιτᾶνές τε καὶ Ταρτάριοι καλούμενοι, ὧν δὴ Κρόνος ἡγεῖται, τῆς τῶν θνητῶν αἰτίας αὐτοῖς κοινωνοῦσι, καὶ τῇδε ἂν λογιζόμενοι εἰδοῖμεν. Ἴσως γὰρ ἄν τις οἰηθείη τὸν Ἥλιον ἐν νῷ ἔχοντα τῷ ἑαυτοῦ τὰ τῶν θνητῶν ταῦτα εἴδη, διανοητά τε καὶ καθ’ ἑαυτὰ οὐδαμοῦ ὑφεστηκότα, ὃν τρόπον καὶ ἀνθρώπων οἱ δημιουργοῦντες τὰ τῶν σκευαστῶν εἴδη, οὕτω τῶν θνητῶν αὐτὸν καστα παράγειν. Ἀλλ’ ἡμεῖς γε ὁρῶμεν οὐχ ὡσαύτως τά τε σκευαστὰ ταῦτα ὑπὸ τῶν δημιουργούντων ἀποτελούμενα, τά τε φύσει συνιστάμενα ταῦτα τῶν θνητῶν ὑπὸ τοῦ Ἡλίου. Τὰ μὲν γάρ που σκευαστὰ ἅπαντα, ἕως μὲν ἂν

[110] αὐτοῖς παρῶσιν οἱ δημιουργοῦντες καὶ ἐργάζωνται, ὁρῶμεν καὶ αὐτὰ ἐς τὴν τελειότητα προχωροῦντα τὴν ἑαυτῶν, καταλειφθέντα δέ ποτε ἡμιτελῆ ὑπὸ τῶν δημιουργούντων, οὐκέτι οὐδὲ προχωροῦντα ἐς οὐδέν· ἔτι τε κατὰ λόγον τὸν τῆς μεταχειρίσεως, ᾗ ἂν αὐτὰ οἱ δημιουργοῦντες ἑκάστοτε· ἐργάζωνται, καὶ αὐτὰ ἅπαντα ἀεὶ τελειούμενα. Τὰ δὲ φύσει ταῦτα συνιστάμενα, οὐ πρὸς τὸν αὐτὸν ἅπαντα λόγον τῶν τε προσόδων καὶ ἀποχωρήσεων τῶν τοῦ Ἡλίου ὁρῶμεν τελειούμενα, οὐδέ γε ζῶντα. Ἦ γὰρ ἂν ἅπαντα ἐφήμερα, ἢ γοῦν ἐπέτεια ἦν· ἔτι τε νύκτωρ οὐδὲν ἂν αὐτῶν προυχώρει ἐς τελειότητα. Νῦν δ’ ὁρῶμεν καὶ νύκτωρ συχνὰ ἐπιδήλως τελειούμενα φυτά τε καὶ καρπούς. Τὸν μὲν οὖν Ἥλιον, οὐκ ἂν ὡσαύτως τελειοῦν ἕκαστα, προσάγοντά τε καὶ ἀποχωροῦντα. Οὔτε γὰρ ἂν νοῦν τὸν αὐτοῦ, ἄνευ τοῦ ἑαυτῷ συνόντος σώματος, αὐτὰ τελειοῦν. Οὐ γὰρ τούς γε μεθεκτοὺς τούτους νοῦς, ἄνευ τῶν σφίσι συνόντων σωμάτων, οὐδ’ ἂν ὁτιοῦν δρᾷν ἔς γε ἕτερα σώματα· τοῖς τε αὖ σώμασι πᾶσι, τοῖς τι δράσουσι, καὶ θέσεως δεῖν τοιᾶσδε ἢ τοιᾶσδε πρὸς τὰ πεισόμενα. Οὐδ’ αὖ τὰ τελειούμενα αὐτὰ ἂν ὑφ’ αὐτῶν τελειοῦσθαι· οὐδεμίαν γὰρ ἂν δύναμιν ἐς ἐνέργειαν χωρεῖν, μὴ οὐχ ὑφ’ ἑτέρας ἐνεργείας πρεσϐυτέρας προϐιβαζομένην· οὐκ ἂν οὖν οὔτε τὸ δυνάμει τέλειον, καὶ ἔργῳ ποτὲ τέλειον γίγνοιτο, μὴ οὐχ’ ὑφ’ ἑτέρου τοῦ ἔργῳ ἤδη τελείου ἐς τὴν τελειότητα προϐιβαζόμενον. Ἀλλ’ οὐδ’ ἂν τὴν ὑπὸ Ἡλίου θερμότητα ἐγγεγονυῖαν, ἤ τι ἄλλο πάθημα, ἐναπειλημμένον ἂν ἑκάστοις τῶν θνητῶν, τελειοῦν

[112] αὐτὰ καὶ τοῦ Ἡλίου ἑκάστοτε ἀποχωροῦντος· πρεσβύτερον γάρ που τό γε τελειοῦν τοῦ τελειουμένου εἶναι δεῖ· εἴδους δὲ καὶ ὅλως οὐσίας οὐδὲν πάθημα πρεσβύτερον, τό γε προσγιγνόμενον, τούτου, ᾧ ἂν ἑκάστοτε προσγίγνηται. Λείπεται δὴ, εἴδη ἄττα καθ’ ἑαυτὰ ὑφεστηκότα, ἐν τῷ ὑπερουρανίῳ ὄντα χώρῳ, ταῦτα μετὰ μὲν ἀλλήλων μόνων οὐκέτι οἷά τε εἶναι παράγειν, ἅττ’ ἂν παράγοι τῇδε, ὥσπερ που τὰ πρεσβύτερα αὐτῶν, ἃ δὴ Ἥλιόν τε καὶ Σελήνην, τά τ’ ἄλλα ἀθάνατα τῶν τῇδε παράγει· ἀλλὰ καὶ τῆς Ἡλίου τε καὶ θεῶν τῶν περὶ Ἥλιον, ἐπὶ τὸ παράγειν, ἅττ’ ἂν καὶ αὐτὰ παράγειν δέοι, κοινωνίας δεῖσθαι· ἐπειδὰν μέντοι τι ταύτῃ παραχθῇ, καὶ σύστασίν τινα ἤδη λάβῃ, τότε δὴ καὶ αὐτὰ οἷά τ’ εἶναι ἤδη δι’ αὐτῶν αὐτὸ ἐπί τινα χρόνον τελειοῦν τε καὶ σώζειν· καὶ τὰ μὲν καὶ αὐτῶν τελεώτερα, καὶ μᾶλλον ἂν αὐτὸ δύνασθαι· τὰ δ’ ἀτελέστερα, ἧττον. Διά τοι ταῦτα, οὐ πρὸς τὸν αὐτὸν ἅπαντα λόγον τῶν τε προσόδων καὶ ἀποχωρήσεων τῶν τοῦ Ἡλίου τελειοῦσθαι τὰ θνητὰ, οὐδέ γε σώζεσθαι. Συμβαίνειν τε αὐτοῖς παραπλήσιόν τι τρόπον τινὰ, οἷον καὶ τοῖς ἀφιεμένοις· καὶ γὰρ καὶ ταῦτα ἀφεθείη μὲν ἂν οὐδαμῶς, μηδενὸς ἀφιέντος· ἐπειδὰν μέντοι τις ἀφῇ ὁτιοῦν αὐτῶν, παραλαμβανοντα ἤδη τὸν ἀέρα αὐτὸ ἐπί τινα χρόνον φέρειν τῇ ἀντιπεριστάσει, οὐ τοῦ γε ἀφεικότος προσαπτομένου ἔτι, οὐδὲ κινοῦντος. Τὰ μὲν οὖν ὑπ’ ἀνθρώπων σκευαστὰ, σώζεσθαι μὲν, ἐφ’ ὅσον ἂν αὐτὰ ἡ φύσις σώζῃ, διὰ τὸ ἐκ φυσικῶν τινων σωμάτων ἕκαστα αὐτῶν συντίθεσθαι· τελειοῦσθαι δὲ πρὸς λόγον ἀεὶ τὸν τῆς μεταχειρίσεως, ᾗ ἂν αὐτὰ οἱ δημιουργοῦντες

[114] ἑκάστοτε ἐργάζωνται· εἰ μὴ ὅ, τι περ ἂν αὐτῶν, συμπέψεώς τινος δεόμενον, τῇ φύσει αὖ καὶ ταύτῃ ἐπιτρέποιτο. Τὰ δὲ πολλὰ ἐκείνως εἰκότως τελειοῦσθαι· οὐ γὰρ εἶναι αὐτοῖς τὰ παραληψόμενά τε καὶ δι’ αὑτῶν τελειώσοντα, ἅτε τῶν δημιουργούντων σὺν τῶν χειρῶν τῇ ἀποστάσει καὶ τὰ ἐν ταῖς διανοίαις εἴδη, οἷς τέως παραδείγμασι χρώμενοι εἰργάζοντο, ἀπαγόντων τῶν δημιουργουμένων. Οὐ γὰρ αὐτὸ καθ’ αὑτὸ εἶδος χωρὶς ἕκαστον αὐτῶν ὑφεστηκέναι, ἀλλ’ ἐν θεῷ τῷ Πλούτωνι, ὃς εἴδους σύμπαντος τοῦ ἀνθρωπείου προέστηκε, σύμπαντα ἔχων ἐν ἑαυτῷ καθ’ ἕν τι, τά γε ἀνθρώπεια πράγματα, ἐνόντα, καὶ ταῦτα ὡσαύτως καὶ καθ’ ἕν τι τοὺς δημιουργοῦντας χωρὶς ἤδη ἕκαστον, καὶ ἄλλον ἄλλο, ταῖς διανοίαις ὑποδέχεσθαι. Ὥσπερ που καὶ ἀριθμὸν τὸν μαθηματικὸν καὶ μεγέθη τὰ μαθηματικὰ καθ’ ἕν τι τῇ θεῷ Ἥρᾳ ἑκάτερον αὐτοῖν προσόντε, ᾗ καὶ ἀπειρίας ἁπάσης προέστηκε τῆς κατ’ αὐτὰ, διὰ τὸ καὶ ὕλης τὴν αὐτὴν προεστάναι, τὴν ψυχὴν ἤδη αὐτὰ ἐκτάδην ὑποδέχεσθαι, σκιὰς μέν που τῶν θείων καὶ εἴδωλα ἅττα ὄντα, πρὸς δ’ ἀκριϐῆ κἀκείνων ἀνθρώποις ἐπιστήμην ἀναγωγότατα. Τὰ μὲν οὖν σκευαστὰ ἀνθρώποις εἰκότως ταύτῃ τελειοῦσθαι. Τὰ δὲ φύσει συνιστάμενα, ἅτε πρὸς παραδείγματα καθ’ ἑαυτὰ ὑφεστηκότα συνιστάμενα, εἰκότως αὖ οὐδὲ πρὸς τὸν αὐτὸν ἅπαντα λόγον τῶν τε προσόδων καὶ ἀποχωρήσεων τῶν τοῦ Ἡλίου τελειοῦται, ὄντων αὐτοῖς καὶ τῶν παραδειγμάτων τούτων, τῶν μὲν τελεωτέρων, τῶν δὲ ἀτελεστέρων τινῶν, καὶ τῶν μὲν μᾶλλον ἂν δυναμένων καὶ δι’ αὑτῶν τελειοῦν τὰ ἀπὸ σφῶν, τῶν δ’ ἧττον τὸ τοιοῦτο δυναμένων. Καὶ εὐ-

[116] λογώτατα δὴ αἵ γε οὐσίαι αἱ τῶν ὄντων τὰς σφῶν ἑκάστῃ προσηκούσας γενέσεις διειλήχασιν· ἡ μὲν πρεσϐυτάτη, ἡ αἰώνιος, τὴν ἐξ αὐτοῦ Διὸς μόνου· ἡ δὲ μετ’ αὐτὴν καὶ δευτέρα, ἡ ἔγχρονος μὲν, ἀΐδιος δὲ, τὴν ἐκ τῶν τούτου παίδων μόνων, πλειόνων μὲν ὄντων, πάντων δ’ ἀδελφῶν ἀλληλοις, ἅτε δὴ ἐξ αὐτοῦ ὄντων τοῦ Διός· ἣν δὴ γένεσιν καὶ Ποσειδῶνι ἐπιγράφομεν, ὥσπερ ἄρα ἀρχιτέκτονι τήν τῆς οἰκίας δημιουργίαν, καὶ νίκην τὴν τῆς στρατιᾶς στρατηγῷ. Οὐσία δὲ ἐσχάτη, ἡ ἔγχρονός τε ὁμοῦ καὶ θνητὴ, οὐκέτι οὐδὲ τὴν ἐκ πάντων ἀδελφῶν ἀλλήλοις θεῶν εἴληχε γένεσιν, εἴ γε δὴ τῶν ταύτην παραγόντων τὴν οὐσίαν θεῶν, οἱ μὲν αὐτοῦ Διὸς εἰσὶν, οἱ δὲ Ποσειδῶνος παῖδες· Κρόνῳ δὲ δὴ καὶ Ἡλίῳ καὶ ταύτην ἐπιγράφομεν, τοῖς τῶν ταύτης παραγωγῶν θεῶν τῆς οὐσίας ἡγεμόσι. Καὶ περὶ μὲν θεῶν γενέσεως, ᾗ δὴ θεοὶ γεννῶσιν, ἱκανὰ ἤδη καὶ ταῦτα. Ἐπὶ δὲ τὴν προκειμένην αὖ ὑπόθεσιν ἐπανιτέα.

Πεφασμένων γὰρ θεῶν, τῶν μὲν ἀῤῥένων, τῶν δὲ θηλειῶν, καὶ τῶν μὲν τὸ εἶδος τοῖς ἐξ ἑαυτῶν ἂν ἐπιφερόντων ἀῤῥένων, τῶν δὲ τὴν ὕλην αὖ παρεχομένων θηλειῶν, ἔτι οὐδ’ ἐκεῖνο ἄδηλον, ὡς καὶ πάντες θεοὶ, οἱ μὲν τῇ ἄῤῥενι, οἱ δὲ τῇ θηλείᾳ προσήκοιεν ἂν φύσει. Τοὺς μὲν γὰρ γονίμους αὐτῶν ἀνάγκη ἤτοι τοῦ εἴδους, ἢ τῆς ὕλης μᾶλλον καὶ τῶν ὕλῃ προσηκόντων, αἰτίους, οἷσπερ ἂν γεννῶσιν, εἶναι. Τοὺς δὲ μὴ γονίμους, οἷοι τῶν ἐντὸς οὐρανοῦ τοῦδε οἱ πολλοί εἰσιν, ἔργον γοῦν τι ἀνάγκη αὐτοὺς ἔχειν, καὶ μὴ ἀργούς τινας τηνάλλως μένειν· οὐδὲ γὰρ ζῇν ἐστιν ἐν τῷ πάμπαν ἀργεῖν. Ἔχοντάς δέ τι ἔργον ἑκάστους θεῶν,

[118] ἀνάγκη αὖ, ἤτοι ἀῤῥενοπρεπὲς αὐτὸ, ἢ θηλυπρεπές τι ἔχειν. Καὶ γὰρ ἤτοι δραστικὸν, ἢ παθητικόν τι αὐτὸ ἕξουσι· τούτοιν δ’ ἤδη δῆλον, ὡς τὸ μὲν ἀῤῥενοπρεπὲς, τὸ δὲ θηλυπρεπές. Καὶ γὰρ τὸ εἶδος, οὗ τῇ αἰτίᾳ τὸ ἄῤῥεν μάλιστα οὐσιοῦται, δραστικόν· ἡ δ’ ὕλη, ἧς αὖ τῇ αἰτίᾳ τὸ θῆλυ, παθητικώτατον. Ὥστ’ οὐ μόνον τῶν θεῶν τοὺς μὲν τῇ ἄῤῥενι μᾶλλον, τοὺς δὲ τῇ θηλείᾳ προσήκειν ἂν φύσει, ἀλλὰ καὶ τῶν ὄντων πάντων, ἐν οἷς μὲν ἂν τό τε εἶδος καὶ τὸ δρᾷν ἐπικρατῇ, τῇ ἄῤῥενι ἂν μᾶλλον προσήκειν αὐτὰ φύσει· ἐν οἷς δ’ ἂν ἥ τε ὕλη καὶ τὸ πάσχειν, τῇ θηλείᾳ· ἰσοῤῥόπως δ’ ἐπαμφοτερίζον τῶν γε ὄντων ὁτιοῦν, τῶν χαλεπωτάτων ἂν εἶναι εὑρεῖν. Ἐχόντων δὲ ταύτῃ τῶν ὄντων, καὶ ἄλλων τε ἄλλοις πεφυκότων κοινωνεῖν καὶ ἄλλως ἄλλων, ἐνίας μὲν αὐτοῖς κοινωνίας εἰκῶ τινα μόνον τῆς ἄῤῥενός τε καὶ θήλεος λόγῳ κοινωνίας ἴσχειν· τὴν δὲ καὶ ἐφ’ ἑτέρων γενέσει ἐνύλων κοινωνίαν, αὐτὴν εἶναι τὴν ἄῤῥενός τε καὶ θήλεος λόγῳ κυριωτάτην κοινωνίαν. Ταύτην δὴ τὴν κοινωνίαν οὐδένα ἂν θεῶν τοῖς ἐξ αὐτοῦ κοινωνεῖν. Οὔτε γὰρ τὸν Δία τῇ Ἥρᾳ ἐν θήλεος λόγῳ κοινωνεῖν, ὅν γε οὐδ’ ἄλλῳ οὐδενὶ τῶν πάντων, ἀλλ’ ἐν παραδείγματος, ἐν ὧν θεῶν γενέσει καὶ ταύτης παραδείγματος δέοι τῆς θεοῦ· οὔτε Ποσειδῶ Σελήνη, οὔθ’ Ἥλιον Ἥρᾳ ……………

## [120] λα΄. Περὶ δικῶν.

… Οὐκ ἰδίᾳ χρώμενα διανοίᾳ, ὑπὸ δὲ ψυχῆς τῆς τοῦδε ἡγουμένης τοῦ οὐρανοῦ ἀγόμενα τῆς τοῦ Ἡλίου, ἔτι δὲ Κρόνου τε καὶ νῶν τῶν ἄλλων προεστηκότων χωριστῶν, οἳ παρὰ τοῦ Ἡλίου παραλαμβάνοντες ἕκαστα, τῆς τε γενέσεως καὶ τοῦ βίου κατάρχοντας αὐτοῖς, ἄγουσι καὶ αὐτοὶ ἤδη κατὰ τὰ ἐν μέν σφισι καθ’ ἓν ἐνόντα, ἐν δ’ αὐτοῖς τοῖς ἀγομένοις διακριδὸν προσγίγνεσθαι πεφυκότα. Ἅτ’ οὖν ὑπὸ τοιούτων τὰ θηρία νῶν ἀγόμενα θειοτέρων, τά τ’ ἄλλα οὐ περιέργως ποιεῖ (οὔτε γὰρ ἂν ὑπὸ ἰδίας ἐπί τι περίεργον διανοίας ἀχθείη· οὐ γάρ ἐστιν αὐτοῖς· οὔτ’ ἂν ὑπὸ τῶν ἔξωθεν ἀγόντων θειοτέρων τούτων νῶν· οὐδὲ γὰρ θέμις·) καὶ δὴ καὶ τὴν τοιαύτην πρᾶξιν πολὺ ὀρθότερον κατά γε τοῦτο τῶν ἀνθρώπων πράττει. Ἄνθρωποι μὲν γὰρ ὑπὸ τοῦ καὶ ἰδίᾳ διανοίᾳ τε καὶ δόξῃ χρῆσθαι, ἁμαρτητῇ μέντοι αὐτῇ, συχνὰ ἔν τε ἄλλοις καὶ δὴ καὶ ἐν τῇ τοιαύτῃ πράξει ἁμαρτάνουσιν, οὐ παρὰ φύσιν μὲν, περιεργότερον δὲ μόνον αὐτῇ χρώμενοι, ἄλλ’ ἤδη καὶ παρὰ φύσιν, ὃ καὶ κομιδῆ ἤδη αἴσχιον ἐκείνου γίγνεται. Τῶν δὲ θηρίων οὐδὲν τὸ τοιοῦτον ἁμαρτάνει. Τὰ γάρ τοι ἑτέροις μιγνύμενα εἴδεσιν αὐτῶν, πεφυκέναι καὶ ταῦτα πρός τι τοιοῦτον νομιστέον, ὥστ’ ἂν καὶ

[122] ἑτέροις τῶν οὐ τῶν αὐτῶν μὲν τοῖς εἴδεσιν, ὁμοειδῶν δὲ καὶ ἐγγὺς ἀλλήλων μίγνυσθαι. Εἰ οὖν ἀσθενεστέρα τις ἀνθρώποις αὕτη ἡ ἐπιθυμία ἦν, ἄλλως ἂν περὶ τοῦ τοιούτου νομοθετεῖν ἔδει. Νῦν δ’ οἱ θεοὶ εἰδότες που, διὰ τὸ ἁμαρτητῇ τῇ δόξῃ τοὺς ἀνθρώπους χρῆσθαι, περί τε συχνὰ ἄλλα τοῦ δέοντος ἐκπεσουμένους, καὶ δὴ καὶ τῷ ἀφροδισιάζειν αὐτῷ οὐ μόνον περιεργότερον χρησομένους, ἀλλὰ καὶ τοὐναντίον αὖ ἐνίους καὶ πάμπαν αὐτοῦ ἀφεξομένους, τοὺς μὲν οὐδ’ εὐαγὲς ὅλως αὐτὸ νομίσαντας, τοὺς δ’ εὐαγὲς μὲν, κάλλιον δὲ ὅμως τὸ ἀπέχεσθαι· τοὺς δὲ καὶ τὰς παιδοτροφίας τε καὶ γυναικοτροφίας ὑπὸ τρόπου δυσκολίας ὀκνήσοντας· δυσχερανοῦντας δὲ καὶ τὰς τῶν παίδων μάλιστα ἀποϐολὰς ἐνίους οὕτως, ὡς μᾶλλον ἂν αἱρήσεσθαι μηδὲ ποιεῖσθαι παῖδας ἢ ποιουμένους ἀποϐάλλειν, δέον τὸ μὲν περὶ τοῦ τῶν παίδων βίου αὐτοῖς θεοῖς ἐπιτρέπειν, αὐτοὺς δὲ τοῦ ἑαυτοῖς καθήκοντος ἔργου καὶ λειτουργίας τῆς ἔς τε γένος τὸ κοινὸν καὶ τὸ πᾶν τόδε μὴ ἀφίστασθαι· καὶ ταῦτ’ οὖν οἱ θεοὶ εἰδότες ἀνθρώποις διὰ τὸ ἁμαρτητὸν τῆς δόξης συμϐησόμενα, οἷα καὶ νῦν συμϐαίνει ἐνίοις, ἵνα μὴ, συχνῶν τοῦ ἀφροδισιάζειν ἀπεχομένων, ἡ ἐκ Διὸς ὑπὲρ τῆς θνητῶν καὶ ἀθανάτων ἐν τῷ ἀνθρώπου εἴδει κοινωνίας πρόνοια διακωλύηται, ἰσχυροτάτην δὴ ταύτην τὴν ἐπιθυμίαν ἐνέθεσαν ἀνθρώποις, οὐκ ἂν ῥᾳδίως κρατηθησομένην, εἰ μὴ οἷσπερ ἂν ἰσχυροτάτη αὖ ἥ γε ταύτην τὴν ἐπιθυμίαν ἐπέχουσα παρίσταιτο δόξα. Τὴν δὲ τοῦ ἀφροδισίων πάμπαν

[124] ἀφεκτέον εἶναι δόξαν, οὐκ ἂν πάνυ πολλοῖς ἰσχυροτάτην ᾔδεσαν προσπεσουμένην, ἀλλὰ τοὺς πολλοὺς τῶν ἐς ταύτην ἂν ἐμπεσουμένων τὴν δόξαν, ἀσθενεστέρως ἂν ἐς αὐτὴν ἐμπεσουμένους ἐγίνωσκον, ὡς ὑπὸ ἐπιθυμίας ἰσχυροτάτης ἐνοχλούσης οὐ χαλεπῶς ἂν ἀσθενῶς ἀντιϐαίνουσαν δόξαν κρατηθησομένην. Τοῖς δὲ θεοῖς μᾶλλον τοῦ μὴ ἀφροδισίων τοὺς ἀνθρώπους πάμπαν τῷ αὐτῷ…, …… εἴγε καὶ πολίτην πρὸς τοῖς ἄλλοις τὸν ἄνθρωπον, καὶ οὐ μονωτήν τινα εἶναι δεῖ. Διὰ ταῦθ’ ἡμεῖς θανάτῳ τοὺς πολλοὺς τῶν ἐν τοῖς τοιούτοις μιαινομένων εὐθύνομεν, αὐτούς τε ἀθλιότητος ἀπαλλάττοντες, καὶ τὰς πόλεις αἴσχους. Τοὺς μὲν οὖν παρὰ φύσιν μιαινομένους ἄν, εἴ ποτέ τινες ταύτῃ μιαινόμενοι ἁλίσκοιντο, ἀῤῥενομιξίᾳ δὴ, ἢ θηριομιξίᾳ, ἢ τινι καὶ ἄλλῃ τοιαύτῃ τῶν τῶν ἀνθρώπων τοῖς μοχθηροτάτοις ἐξευρημένων ῥητῇ τε καὶ ἀῤῥήτῳ μυσαρίᾳ, πυρὶ καθαίρειν, τόν τε δρῶντα ὁμοῦ καῖ πάσχοντα ζῶντε καίοντας· κἂν θηρίον ὠχευκώς τις ἁλῷ, καὶ τοῦτο αὐτῷ συγκαίοντας ὡσαύτως. Μοιχούς γε μὴν αὐτοὺς μὲν ὡσαύτως καίειν, καὶ προαγωγοὺς πρὸς αὐτοῖς, ἄν τε ἄνδρες, ἄν τε γυναῖκες αἵτινεςοῦν ὦσι. Γυναῖκας δὲ δὴ τάς γε μοιχευτρίας τῇ τῶν πορνῶν προεστηκυίᾳ περικείραντας παραδιδόναι, τὸν λοιπὸν πορνευσούσας βίον, ἵνα ἀνθ’ ὧν ἑαυτὰς μονολεχεῖς οἷς καθωμολόγηντο οὐκ ἐφύλαξαν, τοῖς ἄλλοις, ὅσον τὸ ἐπ’ αὐταῖς, μονολεχεῖς τὰς καθωμολογημένας σώζωσι, τῇ τῶν πρὸς ταύτην ἂν μαλακῶς ἐχόντων τὴν ἐπιθυμίαν οὐκ ἐναγεῖ τινι θερα-

[126] πείᾳ. Καίειν δ’ ὡσαύτως, κἄν τις γυναῖκα ἡντινοῦν βιάσηται, πλὴν πόρνης, κἂν ἑταιροῦσα, μηδέπω πεπορνευκυῖα, ἐλεγχθῇ. Καὶ πόρνην δὲ βιασάμενόν ποτε καίειν, ἤν γε αἱμοῤῥοίας τῆς γυναιξὶν εἰωθυίας οὐ καθαρεύουσαν βιάσηται. Τούτους μὲν οὖν πάντας, ἅτε καὶ ἐναγεστάτους, ἐν ἰδίοις τισὶν ἀπάγοντας πολυανδρίοις καίειν, οὐ τοῖς κοινοῖς. Τριττὰ γὰρ οὖν καὶ εἶναι ἑκασταχοῦ τὰ πολυάνδρια, ὅροις εὐδήλοις δή τισιν ἀλλήλων διακρινόμενα, ἓν μὲν ἱερεῦσιν, ἕτερον δὲ τῷ ἄλλῳ δήμῳ, ἄλλο δὲ τὸ τοῖς ἐναγέσι τούτοις, οὗ καὶ σοφιστῶν, ἤν τις παρὰ τὰς ἡμετέρας ταύτας δόξας σοφιζόμενος ἁλῷ, ζῶν καὶ οὗτος κεκαύσεται. Καὶ ἢν θυγατρί τις ἢ μητρὶ ἁλῷ μιχθεὶς ἤ τινι τῶν ἄνω τε καὶ κάτω τούτων. Ἢν δὲ τῶν τινι ἄλλων οἰκείων, ἀποῤῥήτων μέντοι καὶ αὐτῶν, προσμιχθείς τις ἁλῷ, ἀτιμίᾳ τε ζημιοῦσθαι, ἕωσπερ ἂν ἱκανῶς καθαρθῇ, καὶ πρὸς τῇ ἀτιμίᾳ καὶ ἱερῶν συμπάντων εἴργεσθαι. Ἐν τούτῳ τῶν ἐναγῶν τῷ πολυανδρίῳ καὶ ἀνδροφόνον καίειν, ὅς ποτε ἂν τῶν τινα ἐναγεστέρων φόνων ὑπὸ τῶν ἀρχόντων τετολμηκέναι κριθῇ. Ἢν δὲ παρθένῳ τις, ἢ καί τινι κεκινημένῃ, ἀνδρὶ μὲν οὐ καθωμολογημένῃ, ὑπὸ δὲ κυρίῳ τῳ τέως τρεφομένῃ, ἑκούσῃ μιχθεὶς οὕτως ἁλῷ, ὥστ’ ἂν καὶ θάνατον αὐτῷ εἶναι τὴν ζημίαν, ἐν τῷ κοινῷ πολυανδρίῳ καιόμενον θάπτεσθαι, οὗ δὴ καὶ τοὺς ἧττον ἐναγεῖς τολμῶντας τῶν φόνων. Βιαίους δὲ δὴ καὶ μοιχοὺς οὐ μόνον διαπεπραγμένους ζημιοῦν, ἀλλὰ κἄν τις

[128] βιαζόμενος μὲν, οὐ τυχὼν δὲ, ἁλίσκηται, ἢ πειρῶν μὲν, οὐ διαπεπραγμένος δὲ, καὶ τοῦτον οὐδὲν ἧττον τῇ αὐτῇ ζημίᾳ ζημιοῦν. Τῇ γὰρ γνώμῃ καὶ οὗτος βίαιος ἢ μοιχὸς οὐδὲν ἧττον τοῦ διαπεπραγμένου. Ἀξιοῦμεν δ’ ἡμεῖς, ἢν γυναικός τις ἑτέρῳ ὁτῳοῦν καθωμολογημένης ἔρωτι ἑαυτοῦ ἁλισκομένου αἰσθάνηται, παρ’ ἐξηγητήν τε εὐθὺς ἰόντα καὶ τὸ πάθος ἐξαγορεύοντα, καθαρμόν τε αὐτοῦ τοῦ πάθους αἰτεῖν, καὶ τοῦ μὴ ἐς μεῖζον ἐμπεσεῖσθαι κακὸν ἀσφάλειαν, κρατήσαντος ἂν τοῦ πάθους· τῆς ψυχῆς, καὶ ἐπὶ ἱερὰ βαδίζοντα . . . . . . . . . . . . . . . .

και θανάτῳ ἤδη ζημιοῦν. Τῶν δ’ αδικημάτων ἀμφισβητουμένων, ταῖς πλείοσιν ἂν τῶν ψήφων τὸν φεύγοντα ἁλίσκεσθαι. Ἀπολύεσθαι δὲ μὴ ἀδικεῖν, οὐ μόνον ἀπ’ ἐλαττόνων τῶν καταψηφιζομένων, ἀλλὰ κἄν ποτέ πω ἴσαι γένωνται. Ἔτι μέντοι κἀκεῖνο τῷ περὶ δικῶν λόγῳ προσκείσθω, ὡς ἐὰν ἀδικήματός τις τοιούτου παρὰ τῷ συνεδρίῳ κρινόμενος, οἵῳ ἂν θάνατον τὴν ζημίαν ἐπικεῖσθαι, καλὰ ἄττα ἑαυτῷ ἔργα προπεπραγμένα ἐπιδείξῃ, μεγέθει ἢ πλήθει ὑπερϐάλλειν τὸ ἀδίκημα δοκοῦντα, τοῦτον, ὡς οὐκέτ’ ἂν δυσόρθωτον, οὐδὲ τὴν φύσιν κακὸν, δυστυχίᾳ δὲ δὴ τῶν ἄλλων κεχρημένον τινὶ καὶ παιδείας ἐνδείᾳ, μὴ δὴ θανάτῳ ἔτι, ἀλλὰ δεσμοῖς τισιν εὐθύνειν χρονίοις. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἅλις. Εἰ γάρ τι ἡμῖν καὶ παραλέλειπται, ἀλλ’ οὖν τά γε ἐν ὅλῃ

[130] ἤδη τῇ βίϐλῳ εἰρημένα ἱκανὰ, θεῶν ἂν συλλαμϐανόντων, τοιαύτην τοῖς ἡμετέροις ἄρχουσιν ἐμποιῆσαι ἕξιν, οἵαν, καὶ περὶ ὧν οὐχ ἡμῖν διασεσάφηται, αὐτοὺς καλῶς τε καὶ εὖ διαγινώσκειν.

## λϐʹ. Περὶ τῶν τῶν θεῶν ὀνομάτων.

Λοιπὰ δὲ δὴ ἡμῖν τὰ περὶ τῶν τῶν θεῶν ἁγιστειῶν, ἃ καὶ αὐτὰ ἔτι ἐπεξεργαστέα ἐστίν. Οὐ γὰρ ἂν σμικρόν τι διαφέροι, ὀρθῶς ἢ μὴ ἁγιστεύειν τοῖς θεοῖς, εἰ αἱ μὲν συνῳδοὶ ταῖς περὶ θεῶν δόξαις ἁγιστεῖαι κἂν ἐκείνας κρατύνοιεν, αἱ δὲ μὴ, κἀκείνας καὶ ὑποσείοιεν. Ὡς δὲ ἐκ τῶν περὶ θεῶν δοξῶν ἅπαντα ἤρτηται τά γε, ἡμέτερα, ὥστε που καὶ εὖ ἢ κακῶς πράττεσθαι, οὔτοι δὴ ἀμφίλογον νοῦ ὁσονοῦν μετέχουσιν ἀνθρώποις· ὥστε καὶ ταῦθ’ ἡμῖν ἐπεξεργαστέα ἔτι. Καὶ πρῶτόν γε αὐτῶν περὶ τῶν τῶν θεῶν ῥητέα τε ὀνομάτων, καὶ ἐπιδεικτέα, ὡς οὐ μεμπτῶς ἡμεῖς τοῖς πατρίοις θεῶν ὀνόμασιν ἐπὶ τῶν διὰ φιλοσοφίας ἀναγνωριζομένων κεχρήμεθα θεῶν. Οὔτε γάρ που λόγοις ἀεὶ ἐχρῆν ἀντ’ ὀνομάτων σημαίνειν τοὺς θεούς· οὐ γὰρ καὶ τοῖς πολλοῖς ῥᾴδιον τὸ τοιοῦτο· οὔτ’ αὐτοὺς καινὰ ὀνόματα θεμένους, ἢ βάρϐαρα ἐπαγαγομένους, ἐνὸν πατρίοις χρήσασθαι. Ἀλλὰ φαίη ἄν τις, ὡς κατακέχρανται ταῦτα τὰ ὀνόματα ὑπὸ τῶν τοὺς μύθους τῶν ἐκ φιλοσοφίας περὶ θεῶν λόγων ἀπῳδοὺς πλασαμένων ποιητῶν, καὶ οὐκέτι δὴ ἐχρῆν αὐτοῖς κεχρῆσθαι. Ἀλλὰ μὴ οὐ

[132] τοιαύτη ἡ τῶν ὀνομάτων φύσις ᾖ, οἵα δὴ, ἢν καὶ ἅπαν ὁτιοῦν ὄνομα χρανθῇ, καὶ κεχραμμὲνον αὐτὸ μένειν ἐς ἀεὶ, ἀλλ’ οἵα μᾶλλον, ἢν μὲν ἐπὶ φαύλης τέ τις καὶ ἐναγοῦς δόξης ὀνόματι ὁτῳοῦν χρήσηται, κεχράνθαι δὴ αὐτῷ καὶ τοὔνομα· ἢν δ’ ἕτερος τῷ αὐτῷ ἐφ’ ὑγιοῦς τε καὶ εὐαγοῦς χρήσηται δόξης, ἄχραντον τούτῳ ἤδη καὶ τοὔνομα γίγνεσθαι. Οὕτω μὲν γὰρ ἄχραντον ὄνομα, ὡς μηδέποτε ὑπὸ μηδενὸς κεχράνθαι, οὐκ ἂν ῥᾳδίως τις εὕροι. Ἐπεὶ καὶ αὐτὸ τὸ Θεοῦ ὄνομα φαίη τις ἂν κεχράνθαι, ὅτε καὶ ἀνθρώπων γε ἐνίοις πολλῶν ἀγῶν μεστοῖς ἐπιπε……

## λδ΄. Ἐς θεοὺς προσρήσεις.

### Ἑωθινὴ ἐς θεοὺς πρόσρησις.

Ζεῦ βασιλεῦ, αὐτοὼν, αὐτοὲν, αὐτοαγαθὲ, σὺ μέγας, μέγας τῷ ὄντι καὶ ὑπέρμεγας· ὃς γέγονας μὲν ἐξ οὐδενὸς, οὐδέ σου οὐδὲν οὐδαμῇ οὔτε αἴτιον οὔθ’ ὅλως πρεσβύτερον οὔτ’ ἔστιν οὔτε γέγονεν· ἀλλ’ αὐτὸς διὰ σαυτὸν προαιώνιός τε, καὶ μόνος δὴ τῶν πάντων πάντη τε καὶ πάντως ἀγένητος εἶ· τῶν δ’ ἄλλων ἁπάντων, ὁπόσοις τι τοῦ εἶναι μέτεστιν, αὐτὸς πρεσβύτατός τε αἴτιος καὶ ἀρχηγέτης· δι’ ὅν τε καὶ ἐξ οὗ ἅπαντα ἔστι τε, καὶ γίγνεται, καὶ συνέστηκε, καὶ εὖ τε καὶ βέλτιστα ἐκ τῶν ἐνόντων ἔχει, ὁπόσα αἰώνιά τε καὶ ὑπερουράνια, ὅσα τε ἐντὸς οὐρανοῦ τοῦδε καὶ ἔγχρονα, ὅσα τε ἀθάνατα, ὅσα τε αὖ θνητὰ καὶ μοῖραν ἐσχάτην τῶν ὄντων εἰληχότα· τὰ

[134] μὲν αὐτοῦ σοῦ δημιουργοῦντός τε καὶ τἀγαθὰ αὐτοῖς παρέχοντος, τὰ δὲ τούτων τῶν γε ἐκ σοῦ ἤδη γεγονότων ἄλλα δι’ ἄλλων παράγοντος, προνοοῦντός τε, ὅπως ὡς βέλτιστα μὲν καὶ αὐτὰ καθ’ αὑτὰ ἕκαστα ἐκ τῶν ἐνόντων σχοίη, τοῦ δὲ παντὸς τῇ καταστάσει, οὗ σοι μάλιστα καὶ ὁ πλεῖστος λόγος, πόλυ πρότερον λυσιτελέστατα. Μεθ’ ὃν δὴ μέγας αὖ καὶ σὺ, ὦ ἄναξ Πόσειδον, μεγίστου τε καὶ πρεσβυτάτου πατρὸς μέγιστε, ἐς ὅσον γε ἐνῆν, καὶ πρεσβύτατε παῖ, ἀμῆτορ δὴ, αὐτὸ τῶν τοῦ πατρὸς ἔργων τὸ κράτιστόν τε ἐς δύναμιν καὶ τελεώτατον, τῶν τε ἄλλων πάντων μετὰ τὸν πατέρα ἡγεμὼν, οὐρανοῦ δὲ τοῦδε πάτερ τε καὶ δημιουργὲ δεύτερε. Μετὰ δὲ τοῦτον καὶ σὺν τούτῳ, καὶ σὺ, ὦ Ἥρα βασίλεια, θύγατερ μὲν Διὸς πρεσβυτάτη γε, Ποσειδῶνος δὲ τούτου δάμαρ, καὶ τῶν τε ἐντὸς οὐρανοῦ τοῦδε θεῶν μῆτερ, τῆς τε καθ’ ὕφεσιν πάσης καὶ ἐς πλῆθος τῶν ὄντων προόδου ἡγεμών. Ὑμεῖς τε ἑξῆς, ὦ λοιποὶ πάντες θεοὶ Ὀλύμπιοι, Διὸς μὲν τοῦ μεγάλου ἀμήτορες πάντες γνήσιοί τε ἔκγονοι, τῶν δ’ ἐντὸς οὐρανοῦ τοῦδε ἀθανάτων τῷ ὑμετέρῳ ἡγεμόνι τε καὶ ἀδελφῷ πρεσβυτάτῳ Ποσειδῶνι ἄλλος ἄλλου συνδημιουργοί. Ἐν οἷς δὴ καὶ σὺ, ὦ Πλούτων ἄναξ, τοῦ ἡμετέρου προστάτα ἀθανάτου, τέταξαι. Μακάριός γε μὴν καὶ σὺ, ὦ ἄναξ Κρόνε, τῶν Διὸς νόθων ἐκγόνων, ἀμητόρων καὶ ὑμῶν, ᾗ δὴ καὶ σύμπαντες ὁπόσοι ἐξ αὐτοῦ Διὸς, πρεσβύτατε, τῆς τε θνητῆς φύσεως συμπάσης προστάτα. Καὶ μετὰ τοῦτον σύν τε τούτῳ, καὶ ὑμεῖς, ὦ λοιποὶ Τιτᾶνες πάντες Ταρτάριοι, τῆς αὐτῆς θνητῆς φύσεως ἄλλος ἄλλου μέρους τῷ ὑμετέρῳ δὴ τούτῳ ἡγεμόνι τε καὶ

[136] ἀδελφῷ πρεσϐυτάτῳ Κρόνῳ, ἐν αἰῳνίῳ τέως,τῇ ὑμετέρᾳ οὐσίᾳ, συνδημιουργοί. Καὶ μὲν δὴ μακάριος καὶ σὺ, ὦ ἄναξ Ἥλιε, τῶν Ποσειδῶνος τε καὶ Ἥρας ἤδη ἐκγόνων γνησίων πρεσϐύτατε καὶ κράτιστε· ᾧ Ποσειδῶν γε οὗτος, νοῦν μὲν νεώτερον ἑαυτοῦ ἀδελφὸν πρὸς τοῦ πατρὸς Διὸς παρειληφὼς, αὐτός γε μὴν ψυχὴν δι’ αὑτοῦ τε καὶ τοῦ ἑαυτοῦ ἀδελφοῦ τούτου νοῦ ἀπειργασμένος, σῶμα δὲ δι’ Ἥρας μᾶλλόν τοι, ἅτε δὴ τῆς γε ὕλης παραγωγοῦ θεοῦ, τῶν ἄλλων σωμάτων τε καὶ ψυχῶν ἑαυτοῦ τε ἔργων τὼ καλλίστω τε καὶ ἀρίστω ἀποτετελεσμένω, καὶ ἔπειτα ἐς ταὐτὸν αὐτῷ τῷ νῷ τούτῳ συνθεὶς, καὶ ὑπεζευχὼς σῶμα μὲν ψυχῇ, ψυχὴν δὲ νῷ, κοινόν τινα ὅρον τε καὶ σύνδεσμον ταῖν μοίραιν ἀμφοῖν, τῆς θ’ ὑπερουρανίου, καὶ τῆς ἐντὸς οὐρανοῦ τοῦδε συνεστήσατο, ἡγεμόνα τε παντὸς οὐρανοῦ τούτου ἀπέφηνε, καὶ τῆς θνητῆς ἐν αὐτῷ φύσεως συμπάσης, μετά γε Κρόνου, δημιουργόν. Μετὰ δὲ τοῦτον καὶ σὺν

[138] τούτῳ καὶ ὑμεῖς, ὦ λοιποὶ πλάνητες ἀστέρες, τῷ ὑμετέρῳ ἡγεμόνι τε καὶ ἀδελφῷ πρεσβυτάτῳ τούτῳ τήν τε γένεσιν ὁμοίαν καὶ σύστασιν εἰληχότες, καὶ τῶν περὶ τὴν θνητὴν αὐτῷ φύσιν πράξεων κοινωνοὶ καθεστηκότες, τοῦ τε δαιμόνων τῶν χθονίων φύλου, κατὰ μέρη ὑμῖν νενεμημένου, ὕπαρχοι, καὶ πρός γε ἔτι ψυχῶν τῶν ἡμετέρων. Πρὸς δὲ τούτοις, καὶ ὑμεῖς, ὦ ἀνωτάτω ἄστρα, ἐπί τε θεωρίαν τῶν ὄντων σὺν ἐπιστήμῃ περὶ ἅπαντα ἀκριϐεῖ, καὶ τόν γε ἐς Δία μάλιστα τὸν μέγαν ἀφειμένα ὕμνον. Μεθ’ ἃ μακάριοι καὶ ἡμεῖς, ὦ χθόνιοι δαίμονες, ἡ ἐσχάτη μὲν θεῶν μοῖρα, καὶ θεοῖς τοῖς ἄλλοις ὑπηρετικὴ, τῇ τε ζωῇ τῇ ἡμετέρᾳ ἤδη καὶ φύσει προσεχὴς, ἀναμάρτητος γε μὴν καὶ αὐτὴ ἔτι, καὶ κακῶν τις ἀπαθής. Ὦ σύμπαν μακαρίων θεῶν γένος, τήνδε ἡμῶν πρόσρησιν ἑωθινὴν ἵλεῴ τε καὶ εὐμενεῖς πρόσεσθε. Ὦ τὰ ἡμέτερα ἐκ Διὸς ἐπιτροπεύοντές τε καὶ ἐπισκοποῦντες θεοὶ, οἳ δεόντως τά τε ἄλλα περὶ ἡμᾶς μεμηχάνησθε, καὶ ἐγρηγόρσει τε καὶ ὕπνῳ τόνδε ἡμῶν τὸν βίον μεμερίκατε, ταύτης πρὸς τὴν τοῦ θνητοῦ ἡμῶν τοῦδε σώματος ἐς τὸν ἀπονενεμημένον αὐτῷ χρόνον σωτηρίαν δεόμενον τῆς καταστάσεως· δοίητε δὴ καὶ νῦν ἐξεγρομένοις τε καὶ ἐκ τῆς κοίτης ἤδη ἀναστᾶσι, καλῶς τε καὶ εὖ, καὶ ᾗ ἂν καὶ ὑμῖν φίλον ὡς μάλιστα εἴη, τήνδε τε τὴν ἡμέραν, καὶ δὴ καὶ μῆνα καὶ ἐνιαυτὸν οὗ ἐπιϐεϐήκαμεν, καὶ τοῦ βίου τὸ λοιπὸν διελθεῖν. Ὑμῖν γάρ τοι τῶν γε ὑμετέρων αὐτῶν, φθόνος οὐδεὶς, μὴ οὐ καὶ οἷς τε ἂν καὶ καθ’ ὅσον ἐγχωρεῖ, κοινωνεῖν. Καὶ δὴ διδοῖτε καὶ ἡμῖν,

[140] οὓς οὐκ ἀκήρατον μὲν, ἀθάνατον δ’ ὅμως εἰληχότας φύσιν, καὶ τῷ θνητῷ τέως τῷδε ἐνδεδήκατε, τῆς τοῦ παντὸς πληρώσεως ἕνεκα καὶ ἅμα εὐαρμοστίας, ἵνα ᾖ τι καὶ τοῖνδε αὖ τοῖν μοίραιν ἀμφοῖν μεθόριόν τε καὶ σύνδεσμος, τῆς θ’ ὑμετέρας τῆς ἀθανάτου τε ταύτης καὶ πάμπαν ἀκηράτου, καὶ αὖ τῆς ἐπικήρου τε τῆσδε καὶ θνητῆς, μὴ οὐ πάνυ τοι ὑπό τοῦ θνητοῦ τούτου κρατεῖσθαι· ἀλλὰ τὸ κατὰ φύσιν ἡμῶν ἡγεμονικὸν καὶ ἄμεινον, ὑμῖν τε συγγενὲς, ὅπως αὐτὸ μὲν πάντη ὑμῖν, ᾗ ἂν καὶ οἷόν τ’ εἴη, ἕποιτο, τοῦ δὲ παρ’ ἡμῖν αὐτοῖν χείρονος ἐγκρατές τε εἴη καὶ ἄρχον, ὅτι μάλιστα ἀνέχοιτε· καὶ ταῖς τε πράξεσιν ἡμῶν καὶ ἔργοις, οἷς ἂν ἀεὶ ἐγχειρῶμεν, ὅπως κατὰ λόγον τε καὶ νόμον τὸν ὑμέτερον ἐγχειροῖμεν, συλλαμϐάνοιτε· ὡς μὴ ὑπὸ τοῦ θνητοῦ ἡμῶν καὶ ἀλόγου κρατηθέντες, ἔς τε τῆς ἡμετέρας αὐτῶν φύσεως τὸ πλημμελὲς ὑπενεχθέντες, ὑμῶν ὡς πoῤῥωτάτω ἀποσταῖμεν, ἀλλ’ ἡμῶν αὐτῶν τῆς οὐσίας τὸ κυριώτατον, ἀθανατόν τε ὂν καὶ ὑμῖν συγγενὲς, θεραπεύοντες, καὶ τοῦτο ὡς βέλτιστόν τε καὶ ὑμῖν τοῖς πάντα τε ἀγαθοῖς καὶ μακαρίοις ἑπόμενον παρασκευάζοντες, κοινωνοῦντες ἐς ὅσον δυνατὸν ὑμῖν, ὑμῖν τε ὡς οἰκειότατα ἔχοιμεν, τοῦ τῇ συγγενείᾳ ὡς μάλιστα καθήκοντος παρά γε δὴ ἑκάστας τῶν πράξεων τῇ ἀποδόσει, καὶ τήν τε θνητὴν τήνδε οὕτω ὡς μάλιστα φύσιν κοσμοῖμεν, αὐτοί τε, ἔς γε δύναμιν, τῇ ὑμετέρᾳ δὴ ταύτῃ κοινωνίᾳ ὡς μακαριώτατα πράττοιμεν. Διδοῖτε δὴ, ὦ θεοὶ, καὶ νῦν καὶ ἀεὶ, πρῶτον μὲν ἃ χρὴ περὶ ὑμῶν φρονεῖν, ὃ δὴ ἡμῖν ἀγαθῶν ἁπάντων ἡγοῖτ’ ἄν· φρονήσεως, μὲν γὰρ συμπάσης οὔ-

[142] ποτ’ ἄν τι προσγένοιτο οὐδ’ ἡμῖν κάλλιον ἄλλο χρῆμα οὐδὲ θειότερον, ἢ τῶν ἡμετέρων τοῦ θειοτάτου ἡ θειοτάτη πρᾶξίς ἐστιν’ αὐτῆς δέ γ’ αὖ ταύτης, οὐκ ἂν ἄλλη τις καλλίων γένοιτο οὐδὲ μακαριωτέρα τῆς περὶ ὑμῶν τε καὶ Διὸς τοῦ μεγάλου. Ἐπεί τοι οὔτε τὴν περὶ ὑμῶν γνῶσιν ἄνευ τῆς περὶ Διὸς εἴη ἂν ὀρθῶς λαϐεῖν, οὔτε τὴν περὶ Διὸς αὖ, τῆς περὶ ὑμῶν χωρίς. Οὐ γὰρ ἔστιν ἀγαθὸν ἄκρως ἐκεῖνον ἐννοῆσαι, μὴ οὐ καὶ ὑμῶν αὐτὸν δημιουργὸν, ὡς ἀρίστων τινῶν καὶ μακαριωτάτων αὐτῷ γεγονότων, διανοηθεῖσιν· ὁ γὰρ πάντων οὗτος βασιλεὺς, ἅτε ἄκρως αὐτὸς ὢν ἀγαθὸς, καὶ ἑτέρων, ὡς ἐκ τῶν δυνατῶν, βελτίστων τε καὶ ὁμοιοτάτων ἑαυτῷ αἴτιός τε καὶ παραγωγὸς γεγονέναι ἐϐουλῆθη τε, καὶ γέγονε δὴ ὑμῶν τῶν γε δευτέρων θεῶν· ὧν αὖ τοῖς κρατιστεύουσι καὶ τρίτων ἔτι ἑτέρων θεῶν δύναμιν παραγωγῆς παρέσχεν, ἵν’ ἑαυτῷ ἔτι δὴ καὶ μᾶλλον ταύτῃ ὁμοίους, ἐς ὅσον γε ἐνῆν, ἀπειργασμένος ᾖ. Καὶ οὕτω δὴ ἐς τριττὴν ἡ θεότης πεπλεονακυῖα μοῖραν, μιᾶς τῆς μεγίστης τε καὶ πρεσϐυτάτης, τῆς τοῦ Διὸς, τὼ λοιπὼ ἑτέρω ἀφ’ ἑαυτῆς τὴν μὲν ἀμέσως, τὴν δὲ δι’ αὐτῆς αὖ ταύτης προϐεϐληκυίας, ἅπαντα ἀγαθῶν πλέα ἀπέφηνεν. Ἀλλ’ ὁ βασιλεὺς οὗτος Ζεὺς καὶ τὸ σύμπαν ἔτι ὡς ἄριστον τόδε ἀπεργαζόμενος, παντελές τε αὐτὸ καὶ ἓν ἅμα ἐποίει. Ἐξ οὖν ἀϊδίων τε καὶ θνητῶν ἅμα αὐτὸ συντιθεὶς, ὧν τὴν γένεσιν ἑκάστων ἄλλην γε ἄλλοις ἐπέτρεψεν ὑμῶν, καὶ σύνδεσμόν τινα ἔτι ἐν αὐτῷ ἀμφοῖν τούτοιν τοῖν μοίραιν, τὸ ἡμέτερόν τε καὶ ἀνθρώπινον γένος μηχανᾶται. Ὃ δὴ ὑμεῖς Διὸς γνώμῃ τοῖς οὖσιν ἐμποιοῦντες, καὶ ἀθάνατόν

[144] τέ τι καὶ ὑμῖν συγγενὲς εἶδος, τήνδε ἡμετέραν ψυχὴν, θνητῇ συντιθέντες φύσει, πρῶτα μὲν ἐν τῷ ἀθανάτῳ τούτῳ ἡμῶν τὸ εὔδαιμον ἡμῖν ὡρίσατε· ἔπειτα ἐν τῷ καλῷ τε καὶ τῇ τοῦ καλοῦ μεθέξει, αὐτοῦ ἡμῖν τυγχάνειν παρέσχετε, τοῦτο δ’ ἐν τῇ ὑμετέρᾳ μιμήσει, ἅτε καὶ ἐν ὑμῖν προτέροις τε ὂν καὶ πρώτως τὸ καλόν. Ἀλλὰ δὴ ἡ τῶν ὄντων θεωρία, καὶ τῶν ἐν ὑμῖν καλῶν εἴη ἂν τὸ κυριώτατον· ὥστε καὶ ἡμῖν τοῦτ’ ἂν τῶν ἔργων τὸ κάλλιστον εἴη, καὶ ἅμα εὐδαιμονίας τὸ κυριώτατον. Καὶ μάλιστα ἐπειδὰν αὐτὸ περὶ τὰ κάλλιστά τε καὶ ἄριστα τῶν ὄντων πράττωμεν, ὑμᾶς τε δὴ καὶ τὸν ὑμέτερόν τε καὶ τῶν πάντων ἀρχηγέτην Δία, ἔπειτα καὶ περὶ τὸ σύμπαν τε τόδε, καὶ ἔτι τὴν ἡμετέραν αὐτῶν ἐν τούτῳ γνῶσιν. Πρὸς οὖν τούτων τε ἕκαστα καὶ τῶν ἄλλων ἡμῖν ἁπάντων καλῶν, ὑμεῖς, ὦ θεοὶ, συλλαμβάνετε, ὧν χωρὶς, οὐδενὸς ἔστι τῶν ἀγαθῶν τυχεῖν. Καὶ πρῶτον μὲν τῶν καλῶν, ταῦτά τε ἡμῖν καὶ τὰ τοιαῦτα τῶν δογμάτων ἐμπεδοῦτε. Ἔπειτα, ἅτε καὶ δεδιδαγμένους ὑφ’ ὑμῶν, οἷοί τέ τινες γεγόναμεν, ἥν τε τοῦ παντὸς χώραν εἰρήχαμεν, καὶ ἐλευθέρους ὅτι μάλιστα διασώζετε, μὴ συνατυχοῦντας, μῆδε συνταπεινουμένους τῷ ἡμῶν αὐτῷ χείρονι, μήδ’ ὑπὸ τῶν οὐ κατὰ γνώμην ἂν ἡμετέραν προσπιπτόντων αὐτῷ ταραττομένους· ἅτε ἅμα μὲν οὐδὲν πρὸς ἡμᾶς τῶν πρὸς τὸ θνητὸν ἡμῶν τούτων ὄντων· ἡμῶν γὰρ τῆς οὐσίας τὸ κυριώτατον, τὸ ἀθάνατόν ἐστιν, ἐν ᾧ ὑμεῖς ἡμῖν καὶ τὸ εὔδαιμον ὡρίσατε· ἅμα δ’ οὐδ’ ἀεὶ, οὐδ’, ὡς ἂν αὐτοὶ ἐθέλοιμεν, ἐξ ἅπαντος τῶν τοιού-

[146] των διδομένων ἡμῖν. Οὐ γὰρ ἄν τι ημῖν καὶ θνητὸν συνῆν, μὴ οὐ καὶ τοιούτων αὐτῷ παθημάτων συμπιπτόντων· οὐδ’ ἂν ἔκ τε ἀθανάτου καὶ θνητῆς μοίρας συνετεθείμεθα, οἵουςπερ ὑμεῖς ἐν τῷ παντὶ τῷδε γεγονέναι βεβούλησθε· καὶ δέον, ἐφ’ ὅσον τε καὶ ὡς ἂν τὰ τοιαῦτα ἑκάστοτε ὑφ’ ὑμῶν διδῶται, οὕτω που καὶ χρῆσθαι ἡμᾶς αὐτοῖς, σὺν τῇ ἡμετέρᾳ αὐτῶν εὐσταθείᾳ τε καὶ ἐλευθερία, ἣν ὑμεῖς ἡμῖν σὺν τῷ βελτίονι λόγῳ παρέχετε, ᾧ πρὸς τῶν δεινῶν τὰ τοιαῦτα, τούς γε δὴ εὐμοιρίας ἡμῶν τυγχάνοντας ἑκάστοτε, ἀμυντηρίῳ ὁπλίζετε. Ἀβέλτεροί τε γὰρ ἂν εἴημεν τούς γε καθάπαξ κρείττους βιάζεσθαι πειρώμενοι, καὶ ἄδικοι ἅμα, τῶν οὐ παρὰ τῶν κυρίων διδομένων ἀντιποιούμενοι, ἀντὶ τοῦ χάριν ἐπὶ τοῖς ἤδη ἡμῖν διδομένοις, οὐ μεμπτοῖς οὖσιν, εἰδέναι. Μὴ οὖν τῶν τινος τοιούτων ἕνεκα ὑμᾶς ποτε μεμψαίμεθα, ἑτέρως αὐτῶν, ἢ ὡς ἂν ὑφ’ ὑμῶν διδῶται, ἐφιέμενοι· τῷ δ’ ἀφ’ ὑμῶν πεπρωμένῳ πράως παντὶ εἴκοντες, ἅτε καὶ βέλτιστα ἡμῖν ἐκ τῶν ἐνόντων ὑμᾶς χρωμένους εἰδότες, καὶ ταύτῃ ὑμῖν πρὸς τοῖς ἄλλοις κοινωνοῖμεν τῆς γνώμης, ὑμῖν τῷ ταὐτὰ, βούλεσθαι κοινωνοῦντες. Μὴ ἀνθρώπῳ χαλεπήναιμεν, τῷ μὲν ἑαυτῷ δοκοῦντι ἕπεσθαι πεφυκότι, ἡμῶν δ’ οὐχ ἁπτομένῳ, ἣν αὐτοὶ ἅμα μὲν ἡμῖν αὐτοῖς προσέχειν, ἅμα δὲ τοῖς οἰκειοτάτοις ἡμῶν αὐτῶν ἀγαθοῖς ἀγαπᾷν εἰδῶμεν. Μὴ τῶν τινος καλῶν καὶ ὑμῖν φίλων πράξεως καθηκούσης ἀποσταῖμεν, δέει ἂν κωλυθέντες πόνων, ἢ τῶν τινος ἡμῖν μὴ ἐς ἅπαν οἰκείων

[148] ἀποϐολῆς, ἢ τῆς παρὰ τῶν γε οὐκ ἐμφρόνων ἂν ἀνθρώπων ἀδοξίας. Τὸ φρονοῦν τε ἡμῶν καὶ θειότατον τῶν ἡμετέρων ἔγκρατές τε εἶναι ἡμῶν τοῦ παντὸς καὶ ἄρχον, ᾗ ἂν δέοι μάλιστα, ἐπιῤῥωννύοιτε, αὐτὸ τἆλλα ἡμῶν τάττον τε καὶ διακοσμοῦν κατὰ φύσιν, ἄμεινον χείρω, ὅρους τε ἑκάστοις ἐπιτιθέν. Ἡδονῶν τε οὖν τῶν διὰ τοῦδε τοῦ σώματος, ἐκείνῳ ἐμμένοιμεν μετριώτατα, ἄχρις οὗ ἂν ἐθέλοιεν πρὸς τὴν τῆς ψυχῆς ἢ καὶ σώματος ἀμείνω ἕξιν μὴ βλαϐεραὶ εἶναι, εἰ μὴ καὶ συλλαμβάνειν τι ἡμῖν, καθ’ ὅσον που οἷαί τ’ ἂν εἶεν, πρὸς τὸ βέλτιστον· μηδέ τις ἡμῶν ἐπίϐουλός τε καὶ ἄτοπος κρατήσειεν ἡδονὴ, κακίω δή τι τὴν ψυχὴν, ἤ που καὶ τὸ σῶμα, ἀπεργαζομένη. Χρημάτων τε τῶν ταύτας δυναμένων μέτρον τὰς τοῦ βίου χρείας εὐλόγους εἰδοῖμεν, καὶ μὴ ἐς ἀπέραντον ἔν γε ἡμῖν αὐτοῖς τὴν τούτου ἐπιθυμίαν λάθοιμεν αὔξοντες, κακὸν δή τι ἀνήνυτον. Δόξῃ γε μὴν τῇ παρὰ τῶν καλῶν κἀγαθῶν μόνῃ προσέχωμεν, συμμάρτυράς τε ἕξοντες καὶ βεϐαιωτὰς τῶν καλῶν, εἴ ποθ’ ὑμεῖς καλόν τέ τι ἡμῖν καὶ σπουδαῖον διδοῖτε διαπράξασθαι, τῆς δὲ παρὰ τῶν οὐκέθ’ ὁμοίων τούτοις, οὐδὲ τὰς περί τε καλῶν καὶ ἀγαθῶν δόξας πάνυ τοι ἀκριϐούντων, ἄχρι τοῦ, εὐδοκιμοῦντες ἂν καὶ παρὰ τοῖς τοιούτοις, πρός γε ἀρετῆς μηδέν τι βλάπτεσθαι, ὅπη δὴ καὶ ταύτης δέοι, φροντίζοιμεν· κενὴ δέ τις ἡμῶν καὶ πρὸς ἀρετὴν βλαϐερὰ δόξα μήποτε κρατήσειε. Τὰς ἐν ἡμῖν αὐτοῖς σχέσεις, αἷς τοῖς ἑκάστοτε κοινωνοῖς προσηρμόκατέ τε καὶ συνδε-

[150] δῆκατε, φυλάττειν ἀκεραίους διδοῖτε, τῇ τῶν πρὸς ἑκάστους ἡμῖν καθηκόντων ἀποδόσει, καὶ ἰδίᾳ τε οἷς ἂν ἑκάστοτε κοινωνοῖμεν, ἀπὸ γονέων μάλιστα ἀρχόμενοι, οὓς δὴ ἡμῖν ὑμῶν αὐτῶν εἰκοῦς τῇ ἡμῶν τοῦ θνητοῦ αἰτίᾳ προβέβλησθε. Χρηστοὶ εἴημεν, ἀγαθοῦ ἀεί τινος τῇ ἑκάστου κοινωνίᾳ μάλιστα πρέποντος, κακοῦ δ’ οὐδενὸς οὐδενὶ ἑκόντες εἶναι γιγνόμενοι αἴτιοι, οὐδ’ ὀλέθρου τινὸς ἴσχοντες χώραν δεινοῦ τε καὶ δυσσυμβόλου ζώου. Τό τε κοινὸν τῆς πόλεώς τε καὶ γένους, ἐς ὃ τελοῦμεν, συμφέρον πρὸ τοῦ ἰδίου ἀεὶ τιθείμεθα, ὑμῖν ἑπόμενοι, οἳ ἐκ Διὸς τοῦ μεγάλου αὐτοαγαθοῦ τε ἅμα καὶ αὐτοενὸς ὄντος προεληλυθότες, τό τε πᾶν τόδε ἅμα μὲν καὶ καθ’ ἕκαστον, ὅτι κάλλιστόν τε ἐκ τῶν ἐνόντων καὶ ἄριστον ἅμα δὲ καὶ κοινῇ, ἕν τε ἐκ πολλῶν, καὶ αὐτὸ πρὸς αὑτὸ ἡρμοσμένον, παράγοντός τε καὶ ἀπεργαζομένου, ὅπως ἂν καὶ ταύτῃ ἔτι κάλλιόν τε εἴη καὶ ἄμεινον, καὶ αὐτοὶ πᾶσι μὲν ἀεὶ ἀγαθῶν ἔστε αἴτιοι, καὶ ἀλλήλοις, καὶ τοῖς λοιποῖς δὴ τῶν ὄντων, ὧν προέστατέ τε καὶ ἡγεῖσθε, ἔτι δὲ μέρεσί τε καὶ τοῖς ὅλοις· τὸ δὲ τῶν ὅλων ἀεὶ κοινὸν ἀγαθὸν τοῦ ἑκάστῳ ἰδίου τε καὶ [οἰκείου] μέρους ἁπανταχῆ προτετιμήκατε. Καὶ μὲν δὴ καὶ ἁγιστείας τὰς πρὸς ὑμᾶς, ὡς χρή τε καὶ οὕτω μάλιστα τελοῖμεν, ὡς ὑμᾶς μὲν οὐδέν τι τούτων τῶν παρ’ ἡμῶν δεομένους εἰδότες· ἡμῶν δ’ αὐτῶν τὸ φανταστικόν τε καὶ τῷ θειοτάτῳ ἡμῶν προσεχέστατον πλάττοντές τε καὶ τυποῦντες, καὶ ἅμα μὲν καὶ αὐτῷ τοῦ θείου τέ τι καὶ καλοῦ ἀπολαύειν δι-

[152] δόντες, ἅμα δ’ ἡμῶν τῷ θειοτάτῳ εὐήνιόν τε παρασκευάζοντες καὶ εὐπειθές· τό τε εὐσεβὲς καὶ ὅσιον ἐν τῷ μήτε παντάπασιν ἂν ἐκλιπεῖν τῶν ἁγιστειῶν τῶν πρὸς ὑμᾶς τιθέμενοι, μήτε αὖ τὸ μέτριόν τε, καὶ ὁπόσον γ’ ἂν ἡμῶν τὸ φανταστικὸν ἱκανὸν πλάττειν, ὑπερβάλλοντες. Ἐν ἅπασι τελείους καὶ καθ’ ὅσον οἷόν τε ἀναμαρτήτους ἐφ’ ἑκάστοις, οἷςπερ ἂν πράττοιμεν, διασῴζοιτε, τούτοις καὶ τοῖς τοιούτοις νόμοις τε ἑκάστοτε πρὸς τὸν βίον χρωμένους καὶ κανόσιν· ἂν δέ τι καὶ ἁμαρτηθῇ, ὡς ταχεῖαν τε καὶ ἅμα ἱκανὴν τὴν ἐπανόρθωσιν ἐπάγοιτε, τὸν ἀμείνω εὐθὺς λόγον καὶ τῶν τε ἀγαθῶν καὶ κακῶν ἀκριβῆ τινα γνώμονα, ἐπὶ τοῖς ἡμῖν ἂν ἡμαρτημένοις παριστάντες, ὃς ἁμάρτημά τε δὴ καὶ ψυχῆς κακίαν πάντων κράτιστος ἐγγενόμενος ἰάσασθαι. Οὕτω γὰρ ἂν καὶ ἡμεῖς ὑμῖν, κατὰ γοῦν δύναμιν τὴν ἡμετέραν, οἰκειούμενοι, ὡς μεγίστων ἂν καὶ αὐτοὶ ἀγαθῶν τῶν παρ’ ὑμῖν, οἷς φθόνου οὐ μέτεστιν οὐδ’ ὁσονοῦν, ἐφ’ ὅσον περ ἂν καὶ ἐξείη, ἀπολαύοιμεν· ἐν μὲν ταῖς ἄλλαις [τῶν] πράξεων ὑμῖν, ᾗ ἂν καὶ οἷοί τ’ εἴημεν, ἑπόμενοι, τῷ τε ταὐτῷ ἑκάστης πράξεως κοινωνοῦντες ὑμῖν· ἐν δὲ τοῖς ἐς ὑμᾶς ὕμνοις καὶ τὰς ὑμετέρας εὐαγεστάτας εἰκοῦς ἐν τῷ ἡμῶν αὐτῶν κυριωτάτῳ λαμβάνοντες· σὺν δὲ ὑμῖν τε καὶ ἐφ’ ὑμῖν, Δία τὸν μέγαν ὑμνοῦντες, ἐν οὗ τῇ θεωρίᾳ πάντες οἱ ταύτης καὶ ἐφοσονοῦν τῆς πράξεως κοινωνοὶ τὴν κρατίστην τε καὶ μακαριωτάτην ἴσχομεν διάθεσιν. Ἀλλ’ ὦ θεῶν μέγιστέ τε καὶ ἐξαίρετε Ζεῦ, ὦ αὐτοπάτορ πάτερ, ὦ πρεσβύτατε τῶνδε τῶν πάντων δημιουργὲ, ὦ αὐτοκράτορ τε τῷ ὄντι καὶ αὐτοτελὲς βασιλεῦ, παρ’ οὗ βασι-

[154] λεία τε πᾶσα καὶ ἀρχὴ ἄλλη ἐπ’ ἄλλοις τῶν ὄντων καθέστηκέ τε καὶ εὐθύνεται καὶ ὀρθοῦται, ὑπὸ σοί τε καὶ τῷ σῷ κράτει, ὦ κυριώτατέ τε καὶ ἐς τὰ μάλιστα μειλίχιε δέσποτα, ᾧ τὰ πάντα ἐν δίκῃ τε ὅτι μάλιστα, καὶ ἐπ’ ἀγαθῷ ἅμα τῷ σφετέρῳ δουλεύει, πρὸς μὲν σοῦ γεγονότα τε καὶ ὄντα, γεγονότα δὲ σοὶ, οὐδὲν μὲν αὐτῶν δεομένῳ, ἀλλ’ ἅτε δὴ ἄκρως αὐτῷ ἀγαθῷ ὄντι, καὶ ἀγαθὰ ἅπαντα κατὰ δύναμιν ἀποτελέσαι βουληθέντι. Σὺ γὰρ δὴ ἀγαθῶν ἁπάντων τὸ πρεσβύτατόν τε ὁμοῦ καὶ ἔσχατον, ὡς οὐχ ἕτερόν τι ἔπειτα ἀγαθὸν, ἀλλ’ αὐτὸ ὃ εἶ, ἀγαθὸν εἶ. Σὺ τῶν μακαρίων ἑκάστοις τῆς γιγνομένης μακαριότητος ἀφειδὴς χορηγός. Σὺ εὐεργέτης μεγάλων τε καὶ τῷ ὅλῳ ἐς ὅσον οἷόν τε συμφορωτάτων ἀγαθῶν. Σοῦ τοῦ κλέους τὰ πάντα πλέα, ὃν τὰ θεῶν σύμπαντα γένη ὑμνεῖ τε, καὶ τοῦτο ἑαυτῶν τῆς πράξεως τὸ κράτιστόν τε καὶ μακαριώτατον ἄγει· ὃν Ποσειδῶν ὁ σὸς πρεσβύτατός τε καὶ κράτιστος παῖς, αὐτός τε ὑμνεῖ, καὶ τοῖς ἄλλοις πᾶσιν, ὥσπερ καὶ τῶν ἄλλων συμπάντων καλῶν, καὶ αὐτοῦ τούτου πρώτου ἡγεῖται· ὃν ἡ τούτῳ τε σύνοικος Ἥρα καὶ τῶν γε ἐντὸς οὐρανοῦ τοῦδε θεῶν ἀμήτωρ μήτηρ, σύμπας τε ὁ τῶν λοιπῶν Ὀλυμπίων θεῶν ἀριθμός· ὃν Κρόνος τε καὶ Τιτᾶνες οἱ θνητῶν προστάται· ὃν Ἥλιος ὁ τοῦδε ἡγεμὼν τοῦ οὐρανοῦ, οἵ τε ἄλλοι αὐτοῦ ἀδελφοί τε καὶ ὕπαρχοι πλανῆτες· ὃν ὁ τῶν ἀνωτάτω ἄστρων χορὸς· ὃν τὸ χθόνιον σύμπαν δαιμόνων γένος, καὶ θεῶν ἡμῖν προσεχέστατον · ὃν καὶ ἡμῶν ἔσχατον τὸ ἀνθρώπινον τόδε γένος, ὡς δύναμις ἑκάστῳ. Ἧ σε νῦν καὶ ἡμεῖς ὑμνοῦμέν

[156] τε καὶ ἅμα ἀγαθῶν τὰ κράτιστα παρὰ σοῦ ἡμῖν ἐκ τῶν ἐνόντων γενέσθαι εὐχόμεθα. Ἵλαθι δὴ καὶ σῶζε, ἄγε τε σὺν τῷ παντὶ τῷδε καὶ τὰ ἡμέτερα, ὅπη σοι ἄριστα ἔγνωσταί τε καὶ περὶ ἡμῶν, καὶ ἅμα πέπρωται ἐκ τοῦ παντὸς αἰῶνος.

Ταύτην τὴν πρόσρησιν τρισὶ μὲν ἑξῆς μηνὸς τοῦ νέου ἡμέραις, νουμηνίᾳ τε δὴ καὶ δευτέρᾳ καὶ τρίτῃ ἱσταμένου σὺν τῷ περὶ τοῦ μηνός τε ὁμοῦ καὶ ἐνιαυτοῦ διεξιέναι κώλῳ· ταῖς δ’ ἄλλαις νουμηνίαις σὺν μόνῳ τῷ περὶ τοῦ μηνὸς, ἐξαιροῦντας τὴν ἐνιαυτοῦ ῥῆσιν. Ἱερομηνίαις δὲ ταῖς ἄλλαις καὶ ἔτι ἡμερῶν ταῖς βεϐήλοις, καὶ τὸ περὶ ἀμφοῖν τοῦτο ὅλον, τοῦ τε μηνὸς καὶ ἐνιαυτοῦ, κῶλον ἐξαιρεῖν. Ἐν μέντοι τῶν ἡμερῶν ταῖς βεϐήλοις ταύταις, καὶ μετὰ τὸ κῶλον ἐκεῖνο, Αὐτοί τε ἔς γε δύναμιν τῇ ὑμετέρᾳ δὴ ταύτῃ κοινωνίᾳ ὡς μακαριώτατα πράττοιμεν, ἐξαιροῦντας τὸ μεταξὺ πᾶν χωρίον, βραχυλογίας ἕνεκα, ἐπάγειν, Ἐν μὲν ταῖς ἄλλαις τῶν πράξεων, ὑμῖν, ᾗ ἂν καὶ οἷοί τ’ εἴημεν, ἑπόμενοι, καὶ τὰ ἑξῆς ἄχρι τῆς προσρήσεως τελευτῆς.

## Δειλινῶν ἐς θεοὺς προσρήσεων πρώτη.

Ἄναξ Πόσειδον, σὺ Διὸς τοῦ μεγάλου παῖς πρεσϐύτατός τε καὶ κράτιστος. Σὺ ἐξ ἀγενήτου τε πάντη

[158] πάντως καὶ αὐτοπάτορος, οὐ πάντη μὲν ἀγένητος, ἅτε γεγονὼς τῇ γε αἰτίᾳ, ἐς δὲ δύναμιν πάντων τελεώτατος ἀρετῇ τε καὶ ἀξίᾳ τῶν ὁπηοῦν γενητῶν γεγένησαι· καὶ τούτου ἕνεκα πρὸς τοῦ πατρὸς καὶ ἡγεμονίαν τὴν τῶν ὅλων τῶνδε ἐπιτέτραψαι, αὐτοεῖδος τε ὢν καὶ αὐτοπέρας καὶ αὐτοκαλόν· δι’ οὗ πάντα τὰ ὄντα, τοῦ τε εἴδους σφῶν καὶ πέρατος τυγχάνοντα, καὶ κάλλος ἅμα τὸ αὐτοῖς προσῆκον ἕκαστα ἀπολαμϐάνει. Σὺ θεῶν τῶν τρίτων τε καὶ ἐντὸς οὐρανοῦ τοῦδε πατήρ τε καὶ δημιουργὸς πρεσϐύτατος μετὰ Δία τὸν μέγαν. Μεθ’ ὃν αὖ ἡ βασίλεια Ἥρα, πατρὸς μὲν τοῦ αὐτοῦ σοι φῦσα, σοῦ δὲ λειπομένην τῆν τε ἀξίαν καὶ φύσιν ἐσχηκυῖα, ἅτε δὴ οὐδὲ δέον πλείω ἄττα ἀλλήλοις παρισούμενα ἐν τῷ ὑμετέρῳ καὶ ὑπερουρανίῳ χώρῳ γενέσθαι τε καὶ εἶναι. ἀλλὰ μονογενὲς ἕκαστον, ἵνα δὴ καὶ τοῦτο αὐτοενὶ ὄντι τῷ γεννῶντι ὡς ὁμοιότατα ἔχοιτε, αὕτη οὕτω γεγονυῖα καὶ τοιαύτη τις οὖσα, καὶ τῆς ἐς τὰ ὑφειμένα τῶν ὄντων προόδου καὶ πλήθους καὶ ἀπειρίας αὐτῶν προστατεῖν εἴληχεν· εἰκότως, ἅτε πρώτως σοῦ τε τοῦ τελειοτάτου τῶν γεγονότων ἀποϐεϐηκυῖα, καὶ ἐν τῶν ὄντων τῷ ἀριθμῷ πλεονάσασα, καί σοι συνοικοῦσα ἁγνῶς τε καὶ θείως, παίδων τῶν σῶν θεῶν μήτηρ σοι καθέστηκεν. Εἶθ’ ἑξῆς οἱ ἄλλοι πάντες θεοὶ Ὀλύμπιοι, Διὸς μὲν βασιλέως παῖδες γνήσιοι, σοὶ δ’ ἀδελφοὶ, ἄλλος ἄλλην ἐσχηκότες φύσιν, ὁ μέν τις κρείττω, ὁ δ’ ἀεὶ ὑποδεεστέραν, καὶ τῆς ἑαυτῷ προσηκούσης ἐν τῷδε τῷ παντὶ ἕκαστος μοίρας προστατεῖν, ὑπὸ σοὶ ἡγεμόνι, εἴληχεν· Ἀπόλλων μὲν ταυτότητος,

[160] Ἄρτεμις δὲ ἑτερότητος, καὶ Ἥφαιστος μὲν στάσεώς τε καὶ τῆς ἐν ταὐτῷ μονῆς, Διόνυσος δὲ αὐτοκινησίας τε καὶ ὁλκῆς, τῆς τε ἐς τὸ τελεώτερον ἀναγωγῆς, Ἀθηνᾶ δὲ τῆς ὑφ’ ἑτέρων κινήσεώς τε καὶ ὤσεως, τοῦ τε περιέργου ἀποκρίσεως· καὶ ἄστρων μὲν τῶν γνησίων σῶν παίδων, κοινῇ μὲν Ἄτλας, ἰδίᾳ δὲ πλανήτων μὲν Τιθωνὸς, τῶν δ’ ἀπλανῶν Διώνη· δαιμόνων δὲ τῶν χθονίων, καὶ σύμπαντος τοῦ θείου ἐσχάτου τε καὶ ὑπηρετικοῦ φύλου, Ἑρμῆς· ἡμῶν δὲ τοῦ ἀθανάτου, τῆς ἡμετέρας φύσεως κυριωτέρου μέρους, Πλούτων· σωμάτων δὲ τῶν πρεσβυτάτων τε καὶ τῶν ἄλλων στοιχείων, κοινῇ μὲν Ῥέα, ἰδίᾳ δὲ, αἰθέρος μὲν, τοῦ θερμοῦ τε καὶ διακριτικοῦ αὐτῶν, Λητώ· ἀέρος δὲ, τοῦ ψυχροῦ τε καὶ συνεκτικοῦ, Ἑκάτη· ὕδατος δὲ, τοῦ ὑγροῦ τε καὶ διαῤῥύτου, Τηθύς· γῆς δὲ, τοῦ ξηροῦ τε καὶ πηκτοῦ, Ἐστία. Οὗτοι πάντες Διὸς βασιλέως γνήσιοί τε καὶ κράτιστοι γεγονότες παῖδες, τό τε ἄνω τοῦ ὑπερουρανίου χώρου καὶ αὐτὸ τοῦ παντὸς τὸ ἁγιώτατον, Ὄλυμπον ἀπειληφότες, καὶ συμπάσης τῆς κινητῆς μὲν, καὶ ἀμφότερα τῇ τε αἰτίᾳ καὶ τῷ ἀεὶ γίγνεσθαι διὰ τὴν κίνησιν γενητῆς, τῷ δὲ χρόνῳ ἀγενήτου φύσεως προστατεῖν ὑπὸ σοὶ εἰλήχασιν ἡγεμόνι, ἄλλος ἄλλην αὐτοῖς ἀπειληφότες μοῖραν. Σὺ γάρ τοι τούτοις σύμπασι κορυφαῖος ἡγεμὼν, μετὰ Δία τὸν βασιλέα, ἐφεστὼς, τό τε πέρας ἑκάστοις τῶν πράξεων ἐπιτίθης, καὶ τὸ πᾶν τόδε κοσμεῖς. Ἐπὶ σὲ καὶ ἡμεῖς πρῶτον ἐπιστρεφόμεθα, ἅτε καὶ ὑπὸ σοὶ ἡγεμόνι προσεχεῖ τῇ κυριωτέρα ἡμῶν καὶ ἀθανάτῳ δεδημιουργημένοι μοίρᾳ. Καὶ σεβόμεθά τε, καὶ χάριν ἐφ’

[162] οἷς ἡμῖν ἐδωρήσω τε καὶ δωρῇ, ἀγαθοῖς ὁμολογοῦμεν. Καὶ ὑμνοῦμεν σέ τε καὶ μετὰ σὲ καὶ σὺν σοὶ τοὺς σοὺς ἀδελφοὺς, θεοὺς Ὀλυμπίους. Ὦ πρῶτοι αἰώνιοί τε θεοὶ καὶ χρόνου κρείττους, οἷς δὴ οὔτε οἰχόμενόν τι οὔτε μέλλον ἐστὶν, ἀλλὰ τὸ ὅλον ἀεὶ ὑμῖν πάρεστί τε καὶ ἐνέστηκε, τήνδε ἡμῶν πρόσρησιν δειλινὴν, ἵλεῴ τε........ ποιούσης ἀϊδιότητος τὰ ἔσχατα εἰληχότες ἡμεῖς, τοῦ πλέονος ἤδη ἡμῖν τῆσδε τῆς ἡμέρας ὑπεῤῥυηκότος, ἀναφέρομεν· εἴ τις ἐν ἡμῖν αὐτοῖς ἕξις ἐπιεικὴς, ταύτῃ τῇ ὑμετέρᾳ μνήμῃ ἐπισκευάζοντες· καὶ μὴ τῶν ἡμερῶν τε καὶ μηνῶν καὶ ἐνιαυτῶν συμφθίνειν ἐῶντες ταῖς παρόδοις, ἀλλ’ ἄφθιτον καὶ ἀκέραιον ὑφ’ ὑμῖν σωτῆρσι τὸ ἐν ἡμῖν θεῖον διασώζειν πειρώμενοι. Ὦ Πόσειδον ἄναξ, ὦ Πλούτων ἡμέτερε προστάτα, ἄλλοι τε πάντες θεοὶ Ὀλύμπιοι, ἡμεῖς μὲν οὐκ ἄνευ ὑμῶν οὐδ’ ὁτιοῦν τῶν ἀγαθῶν οἷοί τ’ ἂν εἴημεν μεταλαβεῖν. Ἀλλ’ ὑμεῖς ἡμῖν ἔς τε ἀρετὴν, καὶ τὰς καλλίους ἁπάσας πράξεις, ἐν αἷς δὴ καὶ ἡμῖν τὸ εὔδαιμον κυροῦται, συλλαμϐάνετε, τάς τε ἄλλας, καὶ ἐς τοῦ Διὸς τοῦ μεγάλου θεωρίαν τε καὶ ὕμνον, ἐφ’ ὃν ἔσχατον δι’ ὑμῶν ἐπιστρεφόμεθα, ὃς ὑμῖν τε καὶ ἡμῖν καὶ ἅπασι τοῖς οὖσιν ἁπάντων τῶν ἀγαθῶν δοτήρ τε καὶ χορηγὸς πρώτιστος, τοῖς δὲ δὴ λογικοῖς ἡμῖν καὶ τῆν ἑαυτοῦ, ὡς ἐφικτὸν ἑκάστοις, θεωρίαν παρέχων, συμπάντων κεφάλαιον ἀγαθῶν ἐπιτίθησιν.

Καὶ ταύτης τῆς προσρήσεως ἐν τῶν ἡμερῶν ταῖς βεϐή-

[164] λοις, μετὰ τὸ κῶλον ἐκεῖνο, Καὶ τῆς ἑαυτῷ προσηκούσης ἐν τῷδε τῷ παντὶ ἕκαστος μοίρας προστατεῖν ὑπὸ σοὶ ἡγεμόνι εἴληχεν, ἐξαιροῦντας τὸ μεταξὺ χωρίον, ἐπάγειν, Σὺ γάρ τοι τούτοις σύμπασι κορυφαῖος ἡγεμὼν, καὶ τὰ ἑξῆς ἄχρι τῆς προσρήσεως τελευτῆς.

## Δειλινῶν ἐς θεοὺς προσρήσεων δευτέρα.

Ἄναξ Κρόνε, σὺ παντὸς τοῦ νόθου τε καὶ Ταρταρίου θεῶν φύλου Διῒ τῷ μεγάλῳ παῖς πρεσβύτατος γέγονας, καὶ διὰ τοῦτο καὶ τὴν τούτων αὐτῶν ἡγεμονίαν ἐπιτέτραψαι. Σὺ σὺν Ἡλίῳ τῷ οὐρανοῦ τοῦδε ἡγεμόνι, τὴν συμπάσης τῆς θνητῆς φύσεως δημιουργίαν ἐπιτέτραφθον. Σοὶ Ἀφροδίτη συνοικεῖ, τῆς ἐν θνητοῖς τῇ διαδοχῇ ἀϊδιότητος προστάτις. Ὑπὸ σοὶ οἱ τῆς τοιαύτης φύσεως τεταγμένοι εἰσὶ προστάται πάντες, ἄλλος ἄλλην αὐτῆς ἀπειληφότες μοῖραν· Πὰν μὲν τῆς τῶν ζώων τῶν ἀλόγων προεστηκὼς ἰδέας, Δημήτηρ δὲ τῆς τῶν φυτῶν, ἄλλοι τε σύμπαντες οἱ κατὰ μέρη, οἱ μὲν μείζω, οἱ δὲ μείω, τῶν θνητῶν ἕκαστα διειληφότες. Ἐν οἷς καὶ Κόρη, ἡ τοῦ ἡμετέρου θνητοῦ προστάτις θεὸς, ἣν δῆ Πλούτων, ὁ τοῦ ἡμῶν αὖ ἀθανάτου ἄρχων, ἡρπακὼς, ἔχει τε καὶ σύνεστι, θεὸς Ὀλύμπιος θεοῦ Ταρταρίας ἐρασθεὶς, κοινωνίαν τε Ταρτάρῳ πρὸς Ὄλυμπον τοῖς τοῦ πατρὸς Διὸς θεσμοῖς μηχανώμενος. Καὶ σὺ δ’, ὦ ἄναξ Ἥλιε, Διὸς μὲν τοῦ μεγάλου τῷ ἐν σοὶ θείῳ νῷ, Ποσειδῶνός τε τὰ ἐς ψυχὴν καὶ σῶμα,

[166] πρεσϐύτατός τε καὶ κράτιστος γεγονὼς παῖς, κοινὸς μὲν ὅρος τῶν θ’ ὑπερουρανίων καὶ τῶν ἐντὸς οὐρανοῦ θεῶν, ἡγεμὼν δὲ τοῦ παντὸς οὐρανοῦ τούτου πρὸς Ποσειδῶνος τοῦ σοῦ πατρὸς καθέστηκας. Σὺ μετ’ ἄλλων ἓξ ἀδελφῶν τε σῶν καὶ ὀπαδῶν, Σελήνης, Ἑωσφόρου, Στίλϐωνος, Φαίνωνος, Φαέθοντός τε καὶ Πυρόεντος, περιπορευόμενοι, καὶ Κρόνῳ τε καὶ τοῖς ἄλλοις Τιτᾶσι κοινωνοῦντες, τὴν θνητὴν σύμπασαν ἀποτελεῖτε φύσιν. Σὺ καὶ τοῖς πολλοῖς τε καὶ ἀνωτάτω τοῦ οὐρανοῦ τοῦδε ἄστροις, τῆς μεγαλοπρεποῦς ταύτης χορείας ἡγῇ. Ὑπὸ σοὶ καὶ τὸ χθόνιον τῶν δαιμόνων ὑπηρετικόν τε τοῖς ἄλλοις θεοῖς τέτακται φῦλον. Σὺ καὶ ἡμῶν τοῦ τε ἀθανάτου ἡγῇ, καὶ τὸ θνητὸν μετὰ Κρόνου τε καὶ τῶν ὑπὸ Κρόνῳ Τιτάνων πλάττετέ τε, καὶ ἐφ’ ὅσον πέπρωταί γε ἑκάστοις, διασώζετε. Δί’ ἃ δὴ καὶ ὑμᾶς ἡμεῖς μετὰ Ποσειδῶ τε καὶ τοὺς ἄλλους θεοὺς τοὺς Ὀλυμπίους σεϐόμεθά τε, καὶ χάριν ὧν καὶ δι’ ὑμῶν ἔχομεν ἀγαθῶν ὁμολογοῦμεν. Δεόμεθά τε καὶ ὑμῶν, τοῦ τε ἀθανάτου ἡμῶν ἐπὶ τῆν καλλίω τε καὶ ἀμείνω ἕξιν τοὺς ἡγουμένους ἡγεῖσθαι, καὶ τὸ θνητὸν εὐήνιόν τε ἡμῖν καὶ εὔχρηστον κατὰ δύναμιν παρέχεσθαι. Καὶ διδοῖτε, ὦ θεοὶ, καὶ τῆσδε ἤδη τῆς ἡμέρας τὸ πολὺ περὶ τῶν πράξεων τὰς καθηκούσας διατετριφόσι, δεῖπνόν τε ἀναγκαῖον τῷ θνητῷ ἡμῶν τῷδε σώματι ὡς χρή τε καὶ σὺν ἀρετῇ ἑλέσθαι, δικαίως μὲν πεπορισμένους, εὐγνωμόνως δὲ τοῖς διηκονηκόσι χρησαμένους, τοῖς τε συνδείπνοις ἴσως, ἐγκρατῶς δὲ καὶ πρὸς ὑγίειαν εὐχρήστως

[168] προσενεγκαμένους, ἔτι τε καθαρίως τε ἅμα καὶ ἀθρύπτως· καὶ τὸ λοιπὸν τῆς τε ἡμέρας καὶ τοῦ βίου, ὡς κάλλιστοί τε καὶ ἄριστα κατὰ δύναμιν διελθεῖν. Ἐς δὲ τὴν Διὸς τοῦ βασιλέως θεωρίαν τε καὶ ὕμνον, ὁπότε τε ἄλλοτε δέοι, καὶ δὴ καὶ τηνικάδε, ὅπως, ἐφ’ ὅσον ἡμῖν ἐφικτὸν, ἀξίως ἐν τῇ προσρήσει ὑμνήσαιμεν, καὶ ὑμεῖς συλλάβετε.

Καὶ ταύτης τῆς προσρήσεως ἐν τῶν ἡμερῶν ταῖς βεϐήλοις μετὰ τὸ κῶλον ἐκεῖνο, Ἄλλος ἄλλην αὐτῆς ἀπειληφότες μοῖραν, ἐξαιροῦντας τὸ μεταξὺ χωρίον, ἐπάγειν, Καὶ σὺ δ’, ὦ ἄναξ Ἥλιε, καὶ τὰ ἑξῆς ἄχρι τοῦ, Σὺ μετ’ ἄλλων ἓξ ἀδελφῶν τε σῶν καὶ ὀπαδῶν· ἔπειτα ἐξαιροῦντας αὖ τὰ μεταξὺ τῶν ἓξ πλανήτων ὀνόματα, ἐπάγειν, Περιπορευόμενοι καὶ Κρόνῳ τε καὶ τοῖς ἄλλοις Τιτᾶσι κοινωνοῦντες, καὶ τὰ ἑξῆς ἄχρι τῆς προσρήσεως τελευτῆς. Ἐν μέντοι ταῖς νηστείαις, τούτων μὲν οὐδέτερον· τὸ δὲ περὶ τοῦ δείπνου μόνον ἐξαιρεῖν χωρίον, ἅτε σὺ τηνικαῦτα δειπνήσοντας.

## Δειλινῶν ἐς θεοὺς προσρήσεων τρίτη τε καὶ κυριωτάτη πασῶν, ἡ ἐς τὸν βασιλέα Δία.

Ἀυτοὼν, αὐτοὲν, αὐτοαγαθὲ Ζεῦ, ὃς τῷ μηδαμόθεν ἑτέρωθεν γεγονέναι, ἀλλ’ αὐτὸς ἐκ σαυτοῦ εἶναι, ὄντως

[170] τε ὢν τῷ ὄντι εἶ, καὶ ἔτι εἰλικρινῶς ἓν, οὐ πολλά τε ὁμοῦ ὁ αὐτὸς καὶ ἓν, ἅτε δὴ οὐδ’ ἐνὸν οὔτ’ ἂν ἐξ ὁμοίως τῶν πάντων ἀγενήτων ἕν τι συστῆναι, ἑτέρου γὰρ ἂν δέοιτο καὶ κρείττονος ἅμα τοῦ συνέξοντος· οὐτ’ ἂν ἐξ ἑνὸς μὲν ἀγενήτου, τῶν δ’ ἄλλων ἀπὸ τούτου ἤδη προϊόντων, οὐ γὰρ ἂν ἔτι συμφυᾶ τῷ αὐτῷ δι’ αὐτὸ ὄντι τὰ δι’ ἕτερον ἤδη ὄντα, καὶ τοσούτῳ διακρινόμενα, προΐοι. Σὺ δ’ ἕν τε μόνως καὶ αὐτὸς σαυτῷ πάντη πάντως ὁ αὐτὸς ὢν, τοῦθ’ ὃ εἶ, αὐτὸ εἶ τἀγαθὸν, καὶ διὰ ταῦτα ἄκρως τε ἀγαθὸς εἶ, καὶ πρὸς τἆλλα πάντα, ἐκ σοῦ τε ὄντα καὶ διά γε σὲ κάλλιστα ἔχοντα, αὐτὸς ἀσύμϐλητον ἔχων τὴν ὑπεροχὴν, πάτερ πατέρων αὐτοπάτορ, δημιουργέ τε δημιουργῶν, γενητῶν ἀγένητε, καὶ βασιλεῦ βασιλέων τε καὶ ἀρχόντων πάντων ὑπέρτατε, ὃς μόνος τῷ ὄντι αὐτοκράτωρ τε καὶ ἀτελὴς εἶ, ἐς ὃν οὐδὲν οὐδενὶ ἔξεστιν, ἀλλ’ αὐτὸς ἄρχουσι πᾶσι, μείζοσί τε ὁμοῦ, καὶ μείοσι, τὰς πρεπούσας ἑκάστοις καταστάσεις τε καὶ θεσμοὺς νέμεις, καὶ πάντα εὐθύνων ὀρθοῖς, ὀρθοτάτῃ τε δὴ καὶ ἀπαρατρέπτῳ γνώμῃ· δέσποτα, δέσποτα μέγιστέ τε ὁμοῦ καὶ κυριώτατε, δεσποτῶν τε αὖ ἐς τὰ μάλιστα καὶ κυρίων πάντων μειλίχιε, ᾧ τὰ πάντα ἀπὸ τοῦ πρεσϐυτάτου ἀρξάμενα ἄχρι τῶν ἐσχάτων, δουλεύει δουλείαν πασῶν δικαιοτάτην τε καὶ ἐπὶ τῷ σφετέρῳ ἅμα ἀγαθῷ, ἅτε πρὸς μὲν σοῦ γεγονότα τε καὶ ὄντα, γεγονότα δὲ σοὶ, οὐδὲν

[172] μὲν αὐτῶν δεομένῳ, τὸ δὲ σαυτῷ ἄκρως ἀγαθῷ ὄντι προσῆκον ἀποδοῦναί τε βουληθέντι, καὶ ἀγαθὰ ἅπαντα, ὁπόσα τε καὶ ἐς ὅσον γε ἐνῆν κάλλιστα ἔχοντα παραγαγόντι· σὲ ὑμνοῦμεν, οἱ συμπάσης τῆς λογικῆς φύσεως τὸ ἔσχατον εἰληχότες ἡμεῖς, καὶ εὐφημοῦμέν τε, καὶ γεραίρομεν οἷς δυνάμεθα ὡς εὐαγεστάτοις γέρασι, τήν τε περὶ σὲ πᾶσαν διατριβὴν ἡμῶν τῆς πράξεως τὸ μακαριώτατον ἄγομεν. Σὲ πολὺ πρὸ ἡμῶν καὶ ἡ θεῶν σύμπασα νοερά τε καὶ λογικὴ φύσις ὑμνεῖ. Σὺ γὰρ δὴ θεὸς ὢν, προαιώνιός τε καὶ πάντη πάντως ἀγένητος, ἄκρᾳ γνώμης χρηστότητι οὐκ ἐφθόνησας μὴ οὐ καὶ θεῶν γενητῶν τινων πατήρ τε καὶ δημιουργὸς γεγονέναι, τῶν μὲν αὐτὸς διὰ σαυτοῦ ἀμητόρων γε, τῶν δὲ καὶ διὰ τούτων αὖ τῶν πρεσβυτάτων, τῶν γε ἐκ σοῦ ἤδη γεγονότων. Σὺ μὲν γὰρ τῆς σεαυτῷ προσηκούσης τῶν ὄντων μοίρας, τῆς ἀκινήτου τε δὴ καὶ αἰωνίου, καὶ ὕλης ἐπ’ ἄπειρόν τινος μεριστῆς οὐσίας χωρὶς οὔσης, αὐτὸς διὰ σαυτοῦ γίγνῃ δημιουργὸς, ἃ δὴ εἴδη τε αὐτὰ καθ’ αὑτὰ ὑφεστηκότα παράγεις, καὶ θεούς τινας σαυτῷ τε μᾶλλον ὁμοίους καὶ ὑπερουρανίους, οὐδένα μὲν οὐδενὶ ἴσον αὐτῶν, ἀλλ’ ἄλλον ἄλλου ἀεὶ λειπόμενον, ἵνα δὴ καὶ εἷς ἐν τῇ ἰδέα τῇ ἑαυτοῦ ἕκαστος ὢν, σοὶ καὶ τοῦτο ὅμοιον ἔχωσιν· ἔτι δὲ σύμπαντας ἐς μὲν ἀριθμόν τινα αὐτάρκη περαίνοντας, ἐς δ’ ἕν τι μέγα καὶ τέλειον συνιόντας αὖ σύστημα, τὸν ὑπερουράνιον σύμπαντα διάκοσμον, ἵνα δὴ ἰδίᾳ τε ἕκαστος, καὶ ἅμα κοινῇ ὓν ἅπαντες ὦσι· τούτους ἔς δύο τὼ πλεῖστον ἀλλήλοιν διενηνοχότε διελὼν γένη, τὸ μὲν, γνήσιόν τι

[174] σεαυτοῦ ἔκγονον Ὀλύμπιόν τε θεῶν γένος ἀπέφηνας· τὸ δὲ, Τιτάνων τι γένος Ταρτάριόν τε καὶ νόθον, ἅτε γενέσεως μέν σοι τῆς αὐτῆς τῷ προτέρῳ κεκοινωνηκὸς, τῆς δὲ δυνάμεώς τε καὶ ἀξίας πολλῷ που λειπόμενον. Καὶ Τιτάνων μὲν τούτων Κρόνον τὸν πρεσβύτατόν τε καὶ ἡγησόμενον· τῶν δ’ Ὀλυμπίων τε καὶ ἅμα τῶν πάντων πρεσβύτατόν τε καὶ ἐς ὅσον γε ἐνῆν κράτιστον, Ποσειδῶ τὸν μέγαν γεγέννηκας, εἰκῶ τε αὐτὸν σεαυτοῦ, ἐς τὸ ἀκριβέστατον ἐξεικασμένην, κατά γε δὴ το ἐγχωροῦν, ἀπειργασμένος, καὶ πέρας τῆς τῶν ὄντων συμπάσης γενέσεως τελειότητος. Καὶ δὴ ἵνα σοι καὶ ἔτι μᾶλλον ὁμοίως ἔχῃ, τήν τε τῶν ἁπάντων αὐτῷ ἀρχήν τε καὶ ἡγεμονίαν ἐπιτρέπεις, καὶ πρός γε ἔτι τὴν τοῦδε τοῦ οὐρανοῦ γένεσίν τε καὶ δημιουργίαν, συνεργοῖς καῖ τοῖς ἄλλοις ἀδελφοῖς ἄλλῳ ἐπ’ ἄλλο χρωμένῳ θεοῖς. Οὗτός σοι τόνδε τεκταινόμενος τὸν οὐρανὸν, σέ τε μιμούμενος, καὶ μηχανώμενος, ὅπως σοι ὡς κάλλιστα αὐτὸν ἕξοντα ἀπεργάσαιτο, καὶ τρίτην ἔτι θεῶν τινα φύσιν γεγεννηκὼς αὐτῷ ἐγκαθίστησι, ψυχῇ ἤδη καὶ σώματι συμπεπηγότων, ἵνα δὴ ἐγγύθεν αὐτὸν σώζοιέν τε, συνόντες, καὶ ἅμα κοσμοῖεν. Αὐτὸς γὰρ ἑαυτῷ τε καὶ συμπάσῃ τῇ καθ’ ἑαυτὸν οὐσίᾳ, τῇ ὕλης πάντῃ τε καὶ πάντως χωριστῇ, παραδείγματι χρώμενος, εἴδη μὲν καὶ τῷδε ἐνεποίει τῷ οὐρανῷ, καὶ συνετίθει ἐξ εἰδῶν αὐτὸν, οὐκέτι μέντοι πάντῃ χωριστῶν τινων, ἀλλ’ ἐφ’ ὕλης, ἧσπερ Ἥρα αὐτῷ ἀδελφή τε δὴ ἅμα καὶ δάμαρ χορηγὸς ἦν, βεβηκότων, ἐκείνων γε μὴν εἰκόνων, καὶ πρὸς ἐκεῖνα ἀφωμοιωμένων. Ὧν διττὸν τὸ γένος ἀπεργαζόμενος, τὸ μὲν πάντῃ ἀχώριστόν τι τῆς ὕλης ἐποίει καὶ ταύτης ἐξημμένον, τὸ ἄλογον δὴ εἶδος σύμπαν, τὸ δ’

[176] οὐκέτι αὐτῆς ἐξημμένον, ἀλλὰ τοὐναντίον αὐτὸ ἔχον αὐτὴν ἐξημμένην, καὶ ἔργῳ μὲν οὐ. χωριστὸν, τῇ δὲ δυνάμει χωριστόν τέ τι καὶ αὐτὸ ὂν, καὶ τῇ καθ’ ἑαυτὸν οὐσίᾳ τῇ ὑπερουρανίῳ ταύτῃ συγγενέστερον, τὴν ψυχὴν δὴ τὴν λογικήν. Ἧς αὖ τριχῇ τὸ εἶδος διαιρῶν, τὸ μὲν πάντων τέ τι ἐπιστημονικὸν ἐποίει, καὶ γνήσιον ἑαυτοῦ ἔκγονον, τὸ τῶν ἄστρων, θεῶν γεγονὸς γένος οὐράνιον· τὸ δ’ οὐ πάντων μὲν ἐπιστημονικὸν, ὀρθοδοξαστικὸν δὲ πάντων, ὧν γ’ ἂν μὴ, τῇ ἐπιστήμῃ ἐφικνοῖτο, νόθον τέ τί οἱ καὶ χθόνιον γεγονὸς γένος δαιμόνων, καὶ θεῶν τε ἔσχατον πάντων, καὶ τούτοις ὅπη δέοι ὑπηρετικόν· τὸ δ’ οὐ περὶ πάντα ὀρθοδοξαστικὸν, ἀλλ’ ἁμαρτητόν τε, καὶ οὐ πάνυ τοι σπουδαῖον ἑαυτοῦ ἔκγονον, τήν γε ἡμετέραν καὶ ἀνθρωπίνην ψυχὴν, τοῦ τῶν δαιμόνων τούτου γένους ἐφεξῆς που γεγονυῖαν. Τοῦ δ’ ἑτέρου τε καὶ ἀλόγου εἴδους τέτταρα τὰ πρεσβύτατα ἐποίει σωμάτων εἴδη, πῦρ τε καὶ ἀέρα καὶ ὕδωρ καὶ γῆν· ὧν τοῦ καλλίστου τε καὶ ἐλαχίστην ἐν μεγίστῳ ὄγκῳ κεκτημένου ὕλην, τοῦ πυρὸς, καὶ ταῖς γε ψυχαῖς τὰ ὀχήματα ἀπολαμβάνων ὑπεζεύγνυ, τοῦ μὲν λαμπροῦ τε αὐτῶν καὶ φλογώδους, τῶν ἄστρων, τοῦ δ’ ἀοράτου καὶ αἰθερίου, τῶν τε δαιμόνων καὶ ψυχῶν τῶν ἡμετέρων· συνετίθει τε οὕτω γε δὴ ἔκ τε ψυχῆς καὶ σώματος ζώων τριττὰ ἀθανάτων τε καὶ λογικῶν γένη, τοῖς Ὀλυμπίοις τῶν ἀδελφῶν, ἄλλῳ ἐπ ἄλλο, συνεργοῖς ἐς τῶν τῇδε ἀθανάτων τὴν γένεσίν τε καὶ δημιουργίαν χρώμενος, τῶν τε τριττῶν τούτων ζώων γενῶν, τῶν τε τεττάρων ἐκείνων σωμάτων πρεσβυτάτων. Ἔτι δὲ τοῦ

[178] γένους τοῦ τῶν ἄστρων, τὸ μὲν πολὺ ἀπλανὲς πεποιηκὼς, ἐπί τε θεωρίαν τὴν τῶν ὄντων ἀφῆκε καὶ ὕμνον τὸν σόν. Ἑπτὰ δ’ αὐτῶν πλανητὰ ἀπειργασμένος, ἄλλο πρὸς ἄλλο εἶδος τῶν αἰωνίων ἴδιόν τε καὶ προσεχὲς, πρῶτα μὲν ἕκαστον αὐτῶν τῷ ἰδίῳ τούτῳ εἴδει τε καὶ νῷ ὑπεζεύγνυ, καὶ συνετίθει ἔκ τε νοῦ τινος αἰωνίου καὶ ψυχῆς καὶ σώματος τριττήν τινα ἔχον ἕκαστον φύσιν, κοινωνίαν τέ τινα καὶ σύνδεσμον τῷ τε ὑπερουρανίῳ διακόσμῳ καὶ οὐρανῷ τῷδε σοῖς κρατίστοις μηχανώμενος θεσμοῖς. Καὶ αὐτῶν ὃν κάλλιστόν τε καὶ ἄριστον γεγεννήκει, Ἥλιον, τῆς τε τῶν ἐν τῷδε τῷ οὐρανῷ φύσεων τελειότητος πέρας αὐτὸν ἀπειργασμένος καὶ νῷ τῶν μεθεκτῶν τούτων τῷ κρατίστῳ ὑπεζευχὼς, τούτῳ καὶ τὴν τοῦδε τοῦ οὐρανοῦ παντὸς ἡγεμονίαν ἐπέτρεψεν, ἐπεί σοι ἔδει καὶ θνητῆς τινος τόδε τὸ πᾶν μετασχεῖν φύσεως, ἵνα σοι ὄντως ἅπαν ἀποτελεσθῇ. Ἡλίῳ τε δὴ τούτῳ, καὶ ἅμα Κρόνῳ τῶν σῶν νόθων πρεσϐυτάτῳ παίδων, τὴν τούτων γένεσιν ἐπιτρέπει· ὢ ἐπὶ ταύτης ἤδη τῆς λειτουργίας τεταγμένω, τῶν θηρίων τε καὶ φυτῶν παντοδαπῶν, εἴ τέ τι ἄλλο τούτοις συγγενὲς πέφυκεν, ἀπεργάζεσθον γένεσιν, συνεργοῖς ἄλλῳ ἐπ’ ἄλλο καὶ τοῖς ἄλλοις ἑκάτερος ἀδελφοῖς χρωμένω, ὁ μὲν τοῖς Ταρταρίοις, ὁ δὲ τῶν πλανήτων, τοῖς λοιποῖς. Ὧν δὴ τήν πλάνην τε καὶ κίνησιν τοτὲ μὲν προσαγόντων, τοτὲ δ’ ἀπαγόντων τῶν διατιθεμένων, θνητὰ καὶ τὰ γεννήματα ἀποϐαίνειν· τοὺς

[180] γάρ τοι ἑτέρους τούτων δημιουργοὺς, τοὺς μένοντάς τε δὴ καὶ Ταρταρίους, οὐκ ἄνευ τῆς τούτων κοινωνίας γεννᾷν ἱκανούς σοι γεγονέναι. Οὗτοι καὶ ψυχὰς τὰς ἡμετέρας, ἀθανάτους μὲν πρὸς Ποσειδῶνος γεγονυίας, οὐκέτι δ’ ἀκηράτους πάμπαν, παρειληφότες, τῇ θνητῇ τῇδε ἑκάστοτε διὰ τακτῶν τινων ἑκάστῳ χρόνων φύσει συντιθεῖσί τε καὶ πάλιν ἐνθένδε ἀπολύουσι, σύνδεσμόν τινα ἐκ τῶν ἐνόντων δυοῖν τοῖν ἐν τῷδε τῷ οὐρανῷ μοίραιν, τῆς τε ἀθανάτου καὶ θνητῆς, σοῖς μὲν θεσμοῖς, τοῦ δὲ σφῶν ἡγεμόνος ἐντολαῖς Ποσειδῶνος μηχανώμενοι. Καὶ δὴ οὕτω σοι ἡ σύμπασα τοῦ ὄντος γένεσις ἐν τριττοῖς φύσεων γένεσιν ἀποτετέλεσται, τοῦ μὲν πρεσβυτάτου, πάμπαν τε δὴ ἀκινήτου τινὸς καὶ αἰωνίου γένους, αὐτοῦ σοῦ γεγονότος δημιουργοῦ· τοῦ δ’ ἀϊδίου μὲν καὶ αὐτοῦ, κινητοῦ δ’ οὖν καὶ ἐγχρόνου, τῶν σῶν παίδων τοῦ κρατίστου Ποσειδῶνος τῆς γενέσεως ἡγησαμένου· τοῦ δ’ αὖ ἐσχάτου τε καὶ θνητοῦ παντὸς, Ἡλίου τε δὴ καὶ ἅμα Κρόνου τῇ γενέσει λειτουργούντοιν. Συνδέδεται [δέ] σοι ἀλλήλοις τὰ γένη, τὸ μὲν πρεσβύτατον τῷ μέσῳ, τῇ Ἡλίου τε καὶ πλανήτων τῶν ἄλλων συστάσει· τὸ δ’ αὖ μέσον τῷ ἐσχάτῳ, τῇ ἡμετέρᾳ τε καὶ τῶν ἡμετέρων πραγμάτων καταστάσει. Καὶ ἕν τέ τί σοι τὸ πᾶν καὶ παντελὲς ἅμα ἀπείργασται, καὶ ταύτῃ τε δὴ κάλλιστα ἔχον, καὶ ἀΐδιόν τι γεγονὸς, οὐ πρότερον μὲν οὐκ ὂν, ὕστερον δέ σοι καὶ ἐξ ὑπογυίου ἐς τὴν γένεσιν παρηγμένον, οὐδ’ αὖ ποτε ἀπολούμενον· ἔτι δὲ τὸ αὐτό τε ἀεὶ καὶ ἀκίνητον σῶζον σχῆμα, ἅτε σοι οὔτ’ ἂν μὴ παράγειν πότ’ αὐτὸ ὂν θεμιτὸν, ἀγαθῷ ἄκρως πεφυκότι, οὔτ’ αὖ χεῖρόν γέ ποτε ἐξὸν ἀποδοῦναι, ἢ οἷον ἂν γεγονὸς ὅτι δὴ κάλλιστον εἴη. Ἐν τούτῳ

[182] τῷ παντὶ, γέρας τι τοῦτο κάλλιστον τῇ λογικῇ φύσει συμπάσῃ, τὴν σεαυτοῦ ἔννοιάν τε καὶ θεωρίαν παρέσχες, ἧς καὶ ἡμεῖς τὸ ἔσχατόν σοι γεγόναμεν. Καί σε καὶ ἡμεῖς σὺν τῶν θεῶν τοῖς σύμπασι γένεσιν, ὡς δύναμις καὶ ἡμῖν, ὑμνοῦμεν, Ποσειδῶνος τοῦ μεγάλου, ὥσπερ καὶ τῶν ἄλλων πάντων πᾶσι καλῶν, καὶ τούτου ἡμῖν ἡγουμένου. Σὺ μέγας τῷ ὄντι καὶ ὑπερμέγας, ὃς ἀξίας αὐτὸς ὢν ὅρος ὅ γε ὕψιστός τε καὶ ἐξαίρετος, καὶ τῶν ἄλλων ἑκάστοις τὰς ἀξίας θεῶν τε ὁμοῦ καὶ πάντων γενῶν, ᾗ ἂν αὐτοῖς τε ἑκάστοις αἱ ἀξίαι κατὰ δίκην εἶεν, καὶ τῷ ὅλῳ ἅμα ὅτι δὴ μάλιστα πρέποιεν, ὁρίζεις. Ἧ καὶ ἡμᾶς ἐς μεθόριόν τέ τι καὶ σύνδεσμον τελεῖν τῆς τε ἀθανάτου καὶ θνητῆς τέταχας μοίρας. Καὶ ἔν τε τοῦ παντὸς χώρᾳ ταύτῃ κατέστησας, καὶ ἐν τῷ καλῷ καὶ ἡμῖν, τοῖς θεοῖς ὁμοίως γέ πως, τὸ εὔδαιμον ἔνειμας, τοῖς μὲν ἡμῶν μᾶλλον αὐτοῦ, τοῖς δ’ ἧττον τυγχάνειν ἑκάστοτε διδοὺς, τῆς τῆς ὅλης αὖ ἡμῶν φύσεως ἕνεκα ἁρμονίας· ἁμαρτάνουσί τε ἐπανορθοῦσθαι αὖθις ἑκάστοτε, τοῖς μέν που ῥᾶον, τοῖς δὲ καὶ χαλεπώτερον, παρέσχες· πρὸς τὸ καὶ ἑκάστῳ μὲν ἐκ τῶν δυνατῶν λυσιτελὲς, τῷ δ’ ὅλῳ τε καὶ συμπάσῃ τοῦ ὄντος τῇ γενέσει πολὺ πρότερον λυσιτελέστατα τεταχώς τε ἕκαστα τῶν τε ἄλλων καὶ τῶν ἡμετέρων, καὶ εἱμαρμένῃ ἅμα ἀπαρατρέπτῳ ἐξ αἰῶνος δοὺς, διά τε θεῶν, οἷς σοι τὰ τοιαῦτα ἐπιτέτραπται, ἕκαστα ἀποπληρῶν. Ἀλλὰ δὴ ἵλαθί τε καὶ σῶζε, ἄγε τε σὺν τῷ παντὶ τῷδε καὶ τὰ ἡμέτερα, ὅπη σοι ἄριστα ἔγνωσταί τε καὶ περὶ ἡμῶν, καὶ ἅμα πέπρωται ἐκ τοῦ παντὸς αἰῶνος.

[184] Ἑσπερινὴ ἐς θεοὺς πρόσρησις.

Σοὶ, ὦ βασιλεῦ Ζεῦ, πάντων ὧν τέ ποτε ἔσχομεν καὶ νῦν ἀεί τε ἔχομεν ἀγαθῶν, πρώτῳ καὶ μάλιστα τὴν χάριν ἴσμεν. Σὺ γὰρ δὴ οὐχ ἕτερόν τι ἔπειτα ἀγαθὸν, ἀλλ' αὐτὸ ἀγαθὸν ὢν, καὶ πᾶσι τοῖς ἄλλοις ὁ αὐτὸς πρεσϐύτατός τε ὁμοῦ καὶ ἔσχατος καὶ ὅλως κυριώτατος τῶν ἀγαθῶν αἴτιος εἶ. Μεθ' ὃν δὴ καὶ ὑμῖν, ὦ Πόσειδόν τε καὶ ἄλλοι πάντες θεοὶ, δι' ὧν ἐκ Διὸς καὶ ἐς ἡμᾶς τἀγαθὰ ἥκει, ἀεί τε καὶ ἑκάστοτε ἴσμεν χάριν, καὶ μάλιστα ἐπὶ ταῖς μείζοσί τε καὶ τελεωτέραις τῶν δωρεῶν ἃς πρὸς ὑμῶν ἔσχομέν τε καὶ ἔχομεν. Οὓς ἐν μεθορίῳ τῆς τε ὑμετέρας ἀθανάτου καὶ αὖ θνητῆς φύσεως καταστήσαντες, καὶ συνθέντες κοινόν τινα ὅρον καὶ σύνδεσμον τοῖν μοίραιν ἀμφοῖν, τῶν μὲν θνητῶν ἁπάντων τῇ ὑμῶν συγγενείᾳ, καὶ τῆς τε ἀθανασίας τῇ μετουσίᾳ, τῇ τε ἐν τῷ καλῷ, ἐνδεεστέρως μὲν συχνῷ, ὑμῖν δέ γε ὁμοίως παραγιγνομένῃ μακαριότητι προτετιμήκατε· ἔδοτέ τε κοινωνεῖν ἄλλοις τε δὴ ὑμῖν καὶ πρώτῃ τῇ ὑμῶν γνώσει, ἔπειτα τῇ τῶν λοιπῶν τῶν ὄντων σὺν λόγῳ καταλήψει, οἰκειοτάτης ὑμῖν αὐτοῖς πράξεως ταύτης μεταδεδωκότες, εἶτ' αὖ καὶ τῇ ἡμετέρᾳ αὐτῶν γνώσει, παραπλήσιον καὶ τοῦτο τῇ ὑμετέρᾳ δόντες δυνάμει, οἳ καὶ αὐτοὶ ὑμᾶς αὐτοὺς μάλιστα

[186] γινώσκετε. Καὶ τούτοις μὲν ἡμῶν τὸ κράτιστόν τε καὶ τῶν λοιπῶν τῶν ἡμετέρων ἡγεῖσθαι τεταγμένον, καθ’ αὐτὸ κεκοσμήκατε. Δεδώκατε δὲ καὶ τὸ χεῖρον ἡμῶν, καὶ μαλιστά τε καὶ πρῶτον τὸ αὐτῷ τῷ κρατίστῳ ἡμῶν προσεχέστατον, τοῦ λοιποῦ αὖ παντὸς ἡγούμενον, τὸ φανταστικὸν, ταῖς πρὸς ὑμᾶς ἁγιστείαις ὠφελεῖν, τυποῦντας ὡς δυνατὸν καὶ συνεξομοιοῦντας τῇ τοῦ κρείττονος ἀρίστῃ καταστάσει, ὡς αὐτῷ τε εὐήνιον γίγνοιτο, καὶ ἅμα τοῦ θείου τέ τι καὶ καλοῦ καὶ τοῦτο ἀπολαύοι. Δεδώκατε τῇ πρὸς τὸ ὁμόφυλόν τε καὶ πᾶν τὸ ἀνθρώπινον χρηστότητι ὑμᾶς μιμεῖσθαι, οἳ ἀγαθῶν ἀεὶ, κακοῦ δ’ οὐδενὸς οὐδενί ἐστε αἴτιοι. Δεδώκατε τῇ πολιτικῇ ἀλλήλων κοινωνίᾳ ὑμῖν καὶ ταύτῃ κοινωνεῖν, τῇ πρὸς ὑμᾶς, ὡς οἷόν τε, ὁμοιότητι, οἳ ταὐτοῦ πατρὸς γεγονότες τοῦ βασιλέως Διὸς, αὐτοενὸς ὄντος, καὶ ἀλλήλοις αὐτοὶ πλεῖστον ἥνωσθέ τε καὶ κεκοινωνήκατε. Καὶ μὲν δὴ καὶ τοῦ πρὸς δόξαν ἡμῶν τῆς ψυχῆς ἐπιῤῥεποῦς κρατεῖν τῷ βελτίστῳ ἡμῶν ἔδοτε, ἀτιμάζοντι μὲν ὅσον παρ’ αὐτῆς κενὸν, τοῦ δὲ χρησίμου τε μόνου αὐτῆς, καί πη καὶ πρὸς ἀρετὴν λυσιτελοῦς, οὐ πάνυ τοι ὀλιγωροῦντι. Οὐ μὲν οὖν οὐδ’ ὑπὸ τοῦ θνητοῦ τοῦδε πάμπαν κρατηθησομένους περιείδετε· ἀλλὰ καὶ δύναμιν ἔδοτε τὰ βελτίω φρονήσασιν, ἄρχειν μὲν αὐτοῦ ἡμῶν τῷ κρατίστῳ· ἡδονῶν μὲν τῶν δι’ αὐτοῦ παρὸν ἀπολαύειν, οὐ πρὸς τὴν ἐξουσίαν ἀπολαύουσιν, ἀλλὰ

[188] τάξιν τε αὐταῖς καὶ ὅρον τὸν πρέποντα ἐπιτιθεῖσι· χρημάτων δὲ τῶν ταύτας δυναμένων, τὰς αὐτοῦ δὴ τούτου τοῦ θνήτου χρείας εὐλόγους ποιουμένοις μέτρον· αὐτοῖς δὲ δὴ, καὶ ἐν τούτῳ ἔτι μένουσιν, ἐλευθέροις εἶναι, δεινόν γε οὐδὲν ἡμῖν αὐτοῖς ἡγουμένοις τῶν τῷ θνητῷ τούτῳ ἡμῶν οὐ κατὰ γνώμην δὴ ἡμετέραν προσπιπτόντων, ὧν γ’ ἂν ὑμεῖς, τῆς πρὸς αὐτὸ ἀπολύοντες ἄγαν κοινωνίας, ἐπιφέροιτε, εἴτε δι’ αὐτοῦ τοῦ δαιμονίου ὑμῖν τε τοῖς κρείττοσιν ὑπηρετικοῦ φύλου, εἴτε καὶ διὰ τοῦ ἡμῖν τε ὁμοφύλου καὶ ἀνθρωπείου τούτου γένους, τοῦ μὲν καθαρτικῶς τε ἡμῖν καὶ θεραπευτικῶς χρωμένου, τοῦ δὲ ἄλλως ἂν ἡμῖν ἀγνωμόνως διὰ ψυχῆς ἀπαιδευσίαν προσφερομένου. Καὶ μὲν δὴ καί αὐτῶν συχνά ποτε ἡμῖν αὐτοῖς τῶν τῷ χείρονι ἡμῶν τούτων οὐκ εὐχερῶν αἱρεῖσθαι δίδοτε, ἄχρι τοῦ καὶ ὅλον ἔσθ’ ὅτε, ἐὰν δέῃ, τὸ θνητὸν τάδε προΐεσθαι τοῦ καλοῦ τε ἕνεκα καὶ τῷ γε κρείττονι ἡμῶν λυσιτελοῦς· ἐς γὰρ τοσοῦτον τοῦ θνητοῦ τῷ ἀθανάτῳ ἡμῶν κρατεῖν ἔδοτε. Ταύταις ἡμᾶς μείζοσί τε καὶ καλλίοσι δωρεαῖς τετιμήκατε, τὸ κρεῖττον ἡμῶν καὶ κυριώτατον ἀνέχοντές τε καὶ κοσμοῦντες, οἷσπερ ἂν ἡμῶν καὶ ὁπότε τῶν λογισμῶν τούς γε ἀμείνους ἐπιπνεύσητε. Οἵας δὲ καὶ τῷ θνητῷ ἡμῶν ἔδοτε ἀφορμὰς, τὰς μὲν ἐς τὸ τῷ ἀθανάτῳ ὑπηρετεῖν, τὰς δὲ ἐς τὸ ὑπ’ αὐτοῦ ὠφελεῖσθαι- τὰς δ’ ἐς ἰδίας τινὰς ἡδονὰς, ἀνεμεσήτους τε καὶ τῷ κρείττονι οὐ βλαβερὰς, ἄλλας τε δὴ οὐκ ὀλίγας, καὶ ὄψει ὄμματα κεκοσμημένα, ἕς τε συχνὰ ἄλλα καθ’ αὐτὴν χρησιμωτάτῃ αἰσθήσεων, καὶ ἐς τῶν οὐρανίων τε

[190] τούτων σώματων ἐπίσκεψιν τῷ θειοτάτῳ ἡμῶν συλλαμϐανούσῃ, ἀφ’ ὧν ἄλλα τε συχνὰ καὶ καλὰ ἔστι μανθάνειν, καὶ ἡμερῶν τε ἀριθμὸν καὶ μηνῶν καὶ ἐνιαυτῶν, οἷς τὸν βίον ἡμῶν αὐτῶν μετροῦσι πάρεστιν ἐν τάξει τέ τινι πράττειν καὶ αὐτοῖς καὶ κόσμῳ τῶν γε ἡμετέρων τὰ πολλά. Ἔτι δ’ ὦτά τε ἀκοῇ καὶ στόμα φωνῇ κατηρτισμένον, χρησιμώτατα αὖ ὀργάνων ἐπὶ τῷ ἀλλήλοις ἡμᾶς κοινωνεῖν, ἃ ἂν τῇ ψυχῇ ἔνδον ἕκαστοι διανοώμεθα, ὡς μὴ παντάπασιν ἡμῖν ἐς τῶν διανοημάτων ἀλλήλων τὴν κοινωνίαν τάδε τὰ σώματα ἐπιπροσθεῖν. Ὄσφρησιν ἐν μυκτῆρσιν, ἄλλως τε ὀδμῶν χάριτος ἀνεμεσήτου ἀπολαυστικήν τινα αἴσθησιν, καὶ τροφῆς ὑγιεινῆς τε καὶ νοσώδους πόῤῥωθεν ἔτι καὶ πρὸ πείρας τῷ ἡδεῖ τε καὶ ἀηδεῖ ὡς τὰ πολλὰ κριτικήν. Γεῦσιν ἔτι ἐν στόματι, χυμῶν τῶν περὶ τὴν ἀναγκαίαν ταύτην τροφὴν ὑγιεινῶν, σὺν ἡδονῇ ὡς τὰ πολλὰ, τῷ θιγεῖν ἤδη κριτικήν· ἧς καὶ παντοδαπὰς δεδώκατε ἀφορμὰς, ἀφ’ ὧν καὶ ἐς τὸ ἡμῶν τοῦ βίου τὰς τροφὰς παρέσχετε αἱρεῖσθαι, δασμὸν ἀναγκαῖον τῷ θνητῷ ἡμῶν, καὶ τοῦ ἀεὶ κινουμένου τῷ ῥέοντί τε καὶ ὑπαπιόντι τῆς ὕλης ἀποπλήρωσιν, ἕωσπερ ἂν ἡμῖν αὐτὸ ὑφ ὑμῶν σώζεσθαι πεπρωμένον εἴη. Καὶ μὲν δὴ καὶ πρὸς τὸ θνητόν τε τῶν ἡμετέρων καὶ οὐκ ἐς ἀεὶ ἐσόμενον, τὴν τοῦ ἄῤῥενός τε ἡμῶν καὶ θήλεος γένους ἔδοτε συνουσίαν, πιθανωτάτην τῇ τέρψει· ὑφ’ ἧς ἐν ταῖς αὐταῖς καταστάσεσι διατελεῖ ἀεὶ μένον τὸ ὅλον γένος, τῇ ἀεὶ διαδοχῇ τοῦ ἐπιγιγνομένου τῆς τοῦ ἀεὶ ἀπιόντος χώρας ἀναπληρουμένης, ὑπάρχον τε ταῖς αὐταῖς ἀριθμῷ ψυχαῖς, ἄλλοτε ἄλλων, ἐν τακταῖς τισι χρόνων περιόδοις, θνητῶν

[192] σωμάτων κοινωνίαν ὑπὲρ τῆς σφετέρας, ἐφ’ ἧς εἰσιν ὑφ’ ὑμῶν τεταγμέναι, λειτουργίας μὴ ἀπορεῖν. Δεδώκατε δὲ καὶ τεχνῶν ἄλλαις ἐπ’ ἄλλοις κατασκευαῖς τὴν τοῦ θνητοῦ ἡμῶν ἔνδειάν τε καὶ ἀσθένειαν παραμυθεῖσθαι, τὰς χεῖρας ἡμῖν ὄργανα ἐπιτηδειότατα πρὸς τῶν ἔργων τὰ τοιαῦτα μεμηχανημένοι. Δεδώκατε ζώων τῶν ἀλόγων ῥώμαις τε καὶ ἄλλων πρὸς ἄλλα ἐπιτηδειότησιν, ἐς ὃ βουλοίμεθα αὐτοὶ, χρῆσθαι, οἰκεῖα τἀκείνων πλεονεκτήματα ποιουμένοις. Καὶ τούτων γὰρ ἁπάντων σοι πρώτῳ τε καὶ ἐξαιρέτῳ, ὦ βασιλεῦ Ζεῦ, τῷ πρεσϐυτάτῳ τε καὶ κυριωτάτῳ τῶν ἀγαθῶν δοτῆρι, τήν χάριν ἴσμεν. Μεθ’ ὃν καί ὑμῖν, ὦ θεοὶ, δι’ ὧν γε μέσων καὶ ἐς ἡμᾶς ἐκ Διὸς ἥκει τἀγαθά· καὶ δικαιότατόν γε ὑμῖν ὅτι πλείστην εἰδέναι τὴν χάριν, οἳ οὔτε ἀμειϐόμενοι, οὔτε ὠφέλειάν τινα ἀντιληψόμενοι, τἀγαθὰ ἡμῖν παρέσχετέ τε καὶ παρέχετε· ἀλλ’, ἅτε αὐτοαγαθοὶ φύντες, καὶ αὐτοὶ τοῖς ἄλλοις ἀφθονώτατα τῶν ἀγαθῶν, ᾗ καὶ δυναισθ’ ἂν μάλιστα, μεταδίδοτε ἑκάστοτε. Τῶν τε οὖν ἄλλων ὑμῖν ἴσμεν ἀγαθῶν χάριν, ἐκείνων δὲ πολύ τε πρότερον καὶ μάλιστα, ἐν οἷς δὴ ἡμῶν τῇ ψυχῇ ἐς ἀρετῆς καὶ τοῦ καλοῦ λόγον συλλαμϐάνετε. Ταῦτα γὰρ κράτιστά τε ἀγαθῶν καὶ ἅμα τῷ κυριωτάτῳ νέμετε ἡμῶν, ὧν οὐδέν γε ὅ, τι οὐκ ἀφ’ ὑμῶν γε καὶ δι’ ὑμῶν καὶ ἐς ἡμᾶς ἥκει. Ὑμῖν μὲν γὰρ πρώτοις τε καὶ δευτέροις ἐκ Διὸς τἀγαθὰ, τοῖς μὲν μένοντά τε καὶ αἰώνια, τοῖς δ’ οὐκ αἰώνια μὲν, ἀΐδια δέ γε ἄλλως, καὶ ἅμα ὁμαλά τε καὶ ἀμιγῆ κακῶν· μετὰ δ’ ὑμᾶς τε καὶ δι’ ὑμῶν καὶ ἡμῖν, οὐ μέντοι ὁμαλῶς γε ἔχοντα

[194] ἔτι, οὐδ’ ἀδιάλειπτα, τῇ γε μὴν ἀεί τε ἀναλήψει αὐτῶν, καὶ τῷ ἀθανάτῳ καὶ ἡμῶν τῆς ψυχῆς, καὶ αὐτὰ ἀΐδια. Τοῦ μὲν γὰρ θειοτάτου τε ἡμῶν καὶ ὑμῖν συγγενεστάτου, τοῦ φρονοῦντος, ὑμεῖς ἐφαπτόμενοι, ἄγετέ τε ἡμᾶς ἑκάστοτε, οἷ ἂν δέοι, καὶ κατευθύνετε, ὡς οὕτω μάλιστ’ ἂν καὶ ἡμᾶς εὖ τε καὶ μακαρίως πράξοντας, ἕωσπερ ἂν καὶ ἡμεῖς ὑμῖν τε ἕπεσθαι οἷοί τε ὦμεν, καὶ τῶν καλῶν δι’ ὑμῶν τυγχάνειν. Ἀπολειπόμενοι δ’ ἡμεῖς ὑμῶν διὰ τὴν τοῦ θνητοῦ τοῦδε κοινωνίαν, καὶ οὐκέτι ὑμῖν ἑπόμενοι, οὐδ’ ἃ δεῖ φρονοῦντες, ἐν κακοῖς τε ἤδη διὰ τὴν ὑμῶν ἀπόλειψιν γιγνόμεθα, καὶ ἁμαρτήματά τε δὴ περὶ ἡμᾶς καὶ κακίαι καὶ πονηροί τις ἕξις. Ἀλλ’ ὑμεῖς ἀναλαμβάνετέ τε αὖθις ἑκάστοτε, καὶ ἐπανορθώσαντες, εἴτε ἐκ τοῦ παραχρῆμα λογισμῶν τῶν γε ἀμεινόνων ἐπιπνοίᾳ, εἴτε δικῶν τινων πρότερον ἄλλοις ἄλλων ἐπιφοραῖς, μή οὐκ ἐκ τοῦ παραχρῆμα ἂν ἐνδεχομένοις τῶν λογισμῶν τοὺς ἀμείνους διὰ μοχθηροτέραν τινὰ ἕξιν, εἴτε καὶ τῇδε ἔτι μένοντας, εἴτε ἐκεῖσε οἰχομένους, τοῖς ἀγαθοῖς αὖ παντὶ τρόπῳ δίδοτε. Οὕτω γὰρ ἂν ὑμᾶς κολάζειν, οὕς τε ἂν καὶ ὅτε δὴ κολάζητε, ἐπανορθοῦντάς τε τὰ ἁμαρτήματα, καὶ τὰς κακίας ἑκάστοτε ἰωμένους, ὧν οὐχ οἷόν τ’ ἦν μὴ μετίσχειν τοὺς τῷ θνητῷ τῷδε κεκοινωνηκότας, ᾧ δὴ ἐνδεδήκατε, τὸ τῆς ἀθανάτου τε καὶ θνητῆς μοίρας διεστηκὸς ἐν ἡμῖν μιγνύντες, τῶν τε ὄντων ὑμῖν καὶ τοιούτου τινὸς ὑπὲρ εὐαρμοστίας δεομένων, ἡμᾶς τε ἐπὶ ταύτης, ἐν τῶν ὄντων τῇ παντελεῖ τῇδε πόλει, οὔτε περιέργου, οὔτε πάνυ τοι δὴ φαύλης οὔσης τῆς λειτουργίας τεταχότες. Ὧν δὴ ὑμῖν καὶ αὐτῶν χάριν ἴσμεν, ἐπί τε εὐεργεσίᾳ κολάζουσι, καὶ τἀγαθὰ καὶ ἡμῖν, οὓς ἀθανάτους καὶ αὐτοὺς

[196] τῇ κρείττονί τε καὶ κυριωτέρᾳ δεδημιουργῆκατε, ἀΐδια τῇ ἀεὶ ἀναλήψει μεμηχανημένοις. Ἀλλ’, ὦ θεοὶ, τήνδε ἡμῶν τὴν ἑσπερινήν τε καὶ ἔννυχον προσέμενοι πρόσρησιν, δότε καὶ νῦν, εἴ τι τῇδε τῇ ἡμέρᾳ ἡμαρτήκαμέν τε καὶ θεσμοὺς τοὺς ὑμετέρους παραϐεϐήκαμεν, ἢ καὶ βίῳ τῷ πρόσθεν, εἰ ἁμαρτοῦσι μὴ ὑπῆρξέ πω ἐπανωρθῶσθαι, λύσιν τε καὶ ἐς τὸ δέον αὖθις ἐπάνοδον· γνώμας τε τὰς ἀμείνους περὶ τῶν πρακτέων παραστήσαντες, καὶ ἀγαθῶν τε καὶ κακῶν γνώμονα λόγον, τῶν προσγεγονότων ἡμᾶς κακῶν ἐκκαθήρατε. Διδοῖτέ τε τῶν μὲν καλῶν ἀεὶ ἐπίδοσιν ἴσχειν, τῶν δ’ ἡμαρτημένων τε καὶ ἁμαρτανομένων ὡς ταχεῖαν τὴν ἀπόλυσίν τε καὶ ἐπανόρθωσίν, ἕως τὸν ἀφ’ ὑμῶν πεπρωμένον τοῦ βίου τοῦδε χρόνον ἐκπλήσαντες, ἐς ἐκεῖνον ἀφικώμεθα τὸν βίον, τὸν ἀμείνω τε δὴ καὶ θειότατον, τοῦ τε ἐκ τοῦ θνητοῦ τοῦδε σώματος ἀπηλλαγμένον ὄχλου. Εἰ γὰρ τῆς τῶν ὅλων ἕνεκα ἐν ἡμῖν κοινωνίας τῷ θνητῷ ἡμᾶς τῷδε ἐνδεδήκατε, ἀλλὰ καὶ χρόνον ἀπέδοτε, ἐν ᾧ τὸ θεῖον ἡμῶν καθ’ αὑτὸ ἐν τῷ μέρει ἑκάστοτε γιγνόμενον, θειοτέρας τε καὶ ἑαυτῷ μᾶλλόν τι προσηκούσης ἅψεται ζωῆς, τοῖς μὲν προαποιχομένοις συνοργιάσον, ὑμῶν δὲ τοῖς ἡμῶν ἐγγυτέρω πεφυκόσιν ἐναργέστερον συνεσόμενον, διδαχθησόμενόν τε ὑπ’ αὐτῶν ἃ δέοι, καὶ πάντα κάλλιόν τε καὶ ἄμεινον πρᾶξον, ὡς μὴ ἀεὶ κακῶν τῶν ἐκ τοῦ θνητοῦ τοῦδε ἀναπίμπλαιτο, ἀλλ’ ἔχοι τι καὶ βίῳ πολλῷ τοῦδε κρείττονι καὶ θειοτέρῳ χρῆσθαι, τά τε ἄλλα καὶ χρόνου μήκει τὸν τῇδε οὐ σμικρῷ ὑπερϐάλλοντι· πεφυκότες γε ὑμεῖς τῶν χειρόνων τὰς

[198] ἀμείνους, ἐκ γοῦν τῶν δυνατῶν, πράξεις πολυχρονιωτέρας ἀπονέμειν, καὶ ὅλως τῶν κακῶν πολὺ μείζω τἀγαθὰ, ὅτε περ καὶ σαφέστερόν τε καὶ ἄμεινον τὰ ἡμέτερα αὐτῶν δώσετε εἴσεσθαι, καὶ τῶν τε πρόσθεν βίων ἑκατέρων, τῶν τε τῇδε, τῶν τε ἐκεῖ, ἐπὶ πλεῖστον μεμνήσεσθαι, συνάπτουσιν ἀλλήλοις τῇ μνήμῃ, ὧν νῦν βαθεῖά τις ἡμᾶς ἔχει λήθη, διά τε τοῦ τῇδε παρὰ τὴν πρώτην ἡλικίαν διεξεληλυθότας ποταμοῦ λήθης, ἔν τε τῇ ἄλλῃ ἀπό γε τοῦ θνητοῦ τοῦδε ἀχλύϊ μένοντας· τῶν τε μελλόντων ἅμα ἐναργεστέραν πρόγνωσιν ἕξειν, ἧς νῦν βραχύ τι εἴδωλον ἐκ τοῦ δαιμονίου τε καὶ ἡμῖν προσεχεστάτου ὑμῶν φύλου, καθεύδουσί τε καὶ τοῦ διὰ τῶν αἰσθήσεων ὄχλου ἀπηλλαγμένοις ἐπιπέμπεται, ἔστι δ’ οἷς καὶ ὕπαρ διὰ γνώμης θειοτέραν τινὰ ἀνάτασιν λαμβανομένοις. Ἀλλ’, ὦ μακάριοι ἥρωες, ἡ θειοτάτη τε καὶ προύχουσα τοῦ ἡμετέρου γένους φύσις, δι’ ὧν, τῷ τῇδε ἐπιδημούντων βίῳ, μεγάλων ἀρχαὶ ἀγαθῶν τῷ κοινῷ ἡμῶν ἑκάστοτε ἐκ θεῶν ἐπιπέμπεται, χαίρετε· ὦ πρόγονοί τε ἡμῶν καὶ γονεῖς, θεῶν δὴ ἡμῖν εἰκόνες τῇ ἡμῶν τοῦ θνητοῦ αἰτίᾳ γεγονότες· ὦ σύνοικοί τε ἡμῶν καὶ σύντροφοι, ὦ φράτορές τε καὶ ἄλλοι οἰκεῖοι, εἴτε πρεσβύτεροι ἡμῶν ἐν τῷδε τῷ βίῳ γεγονότες, εἴτε καὶ νεώτεροι, οἳ αὐτόσε ἐς τὴν θειοτέραν τε καὶ μακαριωτέραν προαφῖχθε ἡμῶν ζωήν· ὦ ἑταῖροί τε καὶ φίλοι πάντες· ὦ πολῖται, οἵ τε ἄλλοι, καὶ οἱ τῶν κοινῶν ἡμῶν καλῶς προστάντες, οἱ δὲ καὶ τὸν τῇδε βίον ὑπὲρ τῆς τοῦ κοινοῦ τε καὶ ὁμοδόξου γένους ἐλευθερίας ἀποβεβληκότες, ἢ τῶν καθεστηκότων τε

[200] καὶ εὖ ἐχόντων σωτηρίας, ἢ οὐκ ὀρθῶς ἔστιν ὧν κεκινημένων ἐπανορθώσεως· χαίρετε τε πάντες, καὶ ἐπειδὰν ἡ ἐκ θεῶν εἱμαρμένη καὶ ἡμᾶς ὡς ὑμᾶς καλῇ, ἵλεῴ τε καὶ εὐμενεῖς ὑποδέξασθε φίλους παρὰ φίλους ὑμᾶς ἀφιξομένους. Ὦ δαιμόνων ἄλλοι τε καὶ οἱ ἡμῖν προσεχέστεροι, καὶ ἐπὶ τούτοις, Πλούτων, ἡμέτερε προστάτα, ὑμεῖς ἡμῖν τῇδέ τε, ὅπως καλοὶ κἀγαθοὶ γιγνοίμεθα, συλλαμϐάνετε, αὐτόσε τε ἀφικομένους, ὅταν καθήκῃ, ἵλεῳ δέξασθε. Ὦ πάντες, οἳ τὰ ἡμέτερα ἐφορᾶτε, Θεοὶ, τά τε ἄλλα ὅπως εὖ καὶ καλῶς πράττοιμεν, ἐπιμελεῖσθε ἡμῶν καὶ νῦν καὶ ἀεί· καὶ τῇ κοίτῃ ἤδη, ἣν τῷ θνητῷ ἡμῶν ἀναγκαίαν ἀνάπαυλαν παρέσχετε, καθαρᾷ τε πάσης οὐκ εὐαγοῦς πράξεως καὶ κοσμίᾳ χρήσασθαι παρασκευάσατε· καθεύδουσί τε ἵλεῳ ἐπιπνεύσαιτε, καὶ τῇ ὑμετέρᾳ ὄναρ ὁμιλίᾳ ψυχαγωγήσαντες, κακῶν τε ἀπαθεῖς καὶ ἀμερεῖς ἐξαναστήσαιτε, τῆς εὐθείας τε ὁδοῦ καὶ ἐπὶ τὰ καλά τε καὶ ὑμῖν φίλα φερούσης ἐχομένους. Καὶ τά τε ἄλλα κατορθοῦν τῶν καλῶν διδοῖτε, καὶ ὑμᾶς, ὡς πρέπει, ὑμνεῖν, σὺν δ’ ὑμῖν τε καὶ ἐφ’ ὑμῖν Δία τὸν μέγαν. Ὦ αὐτοπάτορ Ζεῦ· ὦ θεῶν ἀμητόρων σοι γεγεννημένων τῶν γ’ ὑπερουρανίων προσεχὲς πάτερ· ὦ τῶνδε τῶν πάντων τῶν μὲν ἤδη προϊόντων πρεσϐύτατε δημιουργέ· ὦ αὐτοκράτορ τε τῷ ὄντι καὶ αὐτοτελὲς βασιλεῦ, ὑφ’ οὗ μόνου ἀνυπευθύνου τοῖς πᾶσιν ἐφεστῶτος ἅπασα ἀρχὴ εὐθύνεται· ὦ κυριώτατε πάντων δέσποτα· σὺ μέγας τῷ ὄντι καὶ ὑπέρμεγας· καί σου τὰ πάντα τῆς δυνάμεως καὶ κλέους πλέα. Ἀλλ’ ἵλαθί τε δὴ, καὶ σῶζε, ἄγε τε σὺν τῷ παντὶ τῷδε καὶ τὰ

[202] ἡμέτερα, ὅπη σοι ἄριστα ἔγνωσταί τε καὶ περὶ ἡμῶν, καὶ ἅμα πέπρωται ἐκ τοῦ παντὸς αἰῶνος.

## λε΄. Ὕμνοι ἐς θεούς.

### Ὕμνος πρῶτος διετήσιος, ὁ ἐς Δία.

Ζεῦ πάτερ, αὐτοπάτορ, πρέσϐιστέ τε δημιοεργέ,
Παγγενέτορ βασιλεῦ, πανυπέρτατε, ἔξοχε πάντων,
Παγκρατὲς, αὐτοεόν τε, καὶ αὐτοὲν, αὐτό τε ἐσθλόν·
Ὃς τάδε σύμπαντ’ ἐξ αἰῶνος ἀπειρεσίοιο,
Ὁππόσα μὲν μείζω αὐτὸς, διὰ δ’ αὐτέων τἆλλα
Γείναο, οἷά τε ἠδ’ ἐφ’ ὅσον ἐνέην γε ἄριστα·
Ἵλαθι, σῶζε, ἄγων σὺν τοῖσιν ὅλοισι καὶ ἄμμε
Σῶν διὰ παίδων αἰὲν ἀγαυῶν, οἷς ἐπέτρεψας,
Ἧ σοι καὶ τὰ καθ’ ἡμέας, οἷ’ ἄρ’ ἔδει, πέπρωται.

### Ὕμνος δεύτερος, διετήσιος καὶ οὗτος, ὁ ἐς θεούς.

Αὐτοεόντος παγγενέταο Ζηνὸς ἀγαυοὶ·
Παῖδες ὕπαρχοί θ’, οἵ τε ξὺν δίκῃ ἡγεῖσθ’ ἡμέων·
Μὴ ὑμέας ποτ’ ἀγοὺς ἄμμες λῆξαιμεν ἔχοντες,
Μηδὲ νόμοισι χρεώμενοι ὀρθοῖς, ἠδὲ φίλοισιν
Ὕμμιν, καδδύναμιν, μούνοις τε εὖ ἄμμε τιθεῖσιν.

[204] Ἀλλά τοι, ὦ θεοὶ, ἡνίοχον νόον ἰθύνοντες
Ἀμμὸν, ὃν ὔμμιν ὁμόγνιον ὕμμες ἐφιδρύκατ’ ἄμμιν,
Τῇ τ’ ἄλλῃ εὖ τὸν βίοτον διάγεν παρέχοιτε,
Καὶ δὲ Δί’ ἔσχατον ὑμνεῖεν σύν γ’ ὔμμι διδοῖτε.

## Ὕμνος τρίτος, ἐπιμηνίων πρῶτος, ἐς Δία.

Ζεῦς μέγας, ὄντως Ἰανὸς, αὐτοπάτωρ, προπάτωρ τε
Πάντων, τῶν ὁπόσοις τὸ ἐὸν τελέει γένεσίς τε,
Οὐ μὴν ἐξ ὑπογυίου αὐτέων γ’ οὐδὲν ἐοργώς,
Ἀλλ’ ἐξ ὅσσου πέρ τε καὶ αὐτὸς ἔην, ἐκ τόσσου
Καὶ τάδ’ ὁμοΐια ῥέζων, οὔποτ’ ἐών γ’ ἂν ἀεργός,
Οὐδέ κεν ἧσσον τῆς γε ἑῆς δυνάμεως εὖ ἔρδων,
Ἧ οἱ καὶ ἔδει, αὐτὸ ὅ ἐστ’ ἐσθλὸν τελέθοντι.
Ὠὴ, ὦ Ζεῦ παμμεδέων βασιλεύτατε· ὠὴ,
Ὦ μάκαρ ἄκρως· ὠὴ, ἀφειδὲς δῶτερ ἐάων.

## Ὕμνος τέταρτος, ἐπιμηνίων δὲ δεύτερος, ἐς Ποσειδῶ.

Ὦ μέγ’ ἄναξ, Διὸς υἱὲ πρεσβυγένεθλε, Πόσειδον,
Συμπάσης τῆσδ’ ἀγλαΐῃ προύχων σθένεΐ τε,
Ὁππόση ἐκ Διός ἐστι γένεσσις, τῆς τε καὶ ἶφι
Ἀρχέμεν ἠδὲ ἀνάσσεν δεύτερος ἐκ πατρὸς ἔσχες,
Ὅς τ’ αὖ ἔξοχος ὅσσῳ ἀπείρῳ ἐστὶ προπάντων,
Οὕνεχ’ ἄρ’ οἶος ἐόντων πάμπαν ἔστ’ ἀγένητος.
Σοὶ μὰν καὶ τόνδ’ οὐρανὸν εὐρέα, πατρὸς ἐφετμαῖς,

[206] Τεῦξαι ὑπῆρξεν, ἐν ᾧ δή σοι κἄμμες γεγάαμεν·
Τοῖσιν ἄρ’ ἤπιος αἰὲν ἰδ’ ἵλαος, ὦ πάτερ, εἴης.

### Ὕμνος πέμπτος, ἐπιμηνίων δὲ τρίτος, ἐς Ἥραν.

Ἥρα, πρέσϐα θεὰ, θύγατερ Ζηνὸς μεγάλοιο,
Τῆς τε Ποσειδάων πόσις, ὅς ῥ’ ἔστ’ αὐτὸ ὅ ἐστιν
Καλὸν, μῆτερ μέν τε θεῶν, τοὶ οὐρανοῦ ἐντὸς,
Ἠδ’ ὕλης παραγωγὲ, ἕδρης τοῖς τῇδ’ εἴδεσσιν,
Δυνάμεώς τε δότειρα προπάσης, ᾗ μέν τ’ ἄλλης,
Ἠδέ θ’ ᾗ εἰς ἀρετὴν φέρει ἀγλαΐην τε ἅπασαν,
Τῇ τε νόμους συνάγεις, ἐξ ὧν τοι τοῖσιν ὅλοισιν
Πληθὺς, ἀϊδιότης θ’ ἅμα ἐγγέγαεν· σὺ καὶ ἄμμιν
Εὖ βιόεν δίδου, ἕς ῥ’ ἀρετὴν ἵλεως προφέρουσα.

### Ὕμνος ἕκτος, ἐπιμηνίων τέταρτος, ἐς θεοὺς τοὺς Ὀλυμπίους.

Ἄνα Ποσείδαον, μεγάλοιο, Διὸς παῖ ἄριστε,
Ὅς τε προπάσης τῆσδε γενέσσιος ἐκ πατρὸς ἡγέαι·
Σύ θ’, Ἥρα, τεῦ ἁγνὴ δάμαρ, ἐσθλή τ’ αὖ βασίλεια·
Ἄπολλόν τε καὶ Ἄρτεμι, καί ῥ’ Ἥφαιστ’, ἰδὲ Βάκχε,
Καὶ Ἀθήνη, ἑπτὰ θεοὶ τοὶ κρέσσονές ἐστε
Τῶν ἄλλων πάντων μετ’ ἄρ’ ἔξοχον ὑψιμέδοντα·
Ἄλλοι θ’, οἵ ῥα Ὀλυμπον ναίετε, τῶνδέ τε τῇδε
Ἀθανάτων πατέρες καὶ δ’ ἡμέων ἐν τούτοισιν
Ἐστὲ, ἵλαοι ἄρ’ εἴητ’ ἄμμιν εὐμενέες τε.

## [208] Ὕμνος ἕβδομος, ἐπιμηνίων πέμπτος, ἐς Ἀπόλλωνα.

Ἄναξ Ἄπολλον, φύσεως τῆς ταὐτοῦ ἑκάστης
Προστάτα ἠδ᾽ ἡγῆτορ, ὃς ἄλλα τε ἀλλήλοισιν
Εἰς ἓν ἄγεις, καὶ δὴ τὸ πὰν αὐτὸ, τὸ πουλυμερές περ
Πουλύκρεκόν τε ἐὸν, μιῇ ἁρμονίῃ ὑποτάσσεις·
Σύ τοι ἔκ γ᾽ ὁμονοίης καὶ ψυχῇσι φρόνησιν
Ἠδὲ δίκην παρέχεις, τά τε δὴ κάλλιστα ἐάων,
Καὶ ῥ᾽ ὑγίειαν σώμασι, κάλλος τ᾽ ἂρ καὶ τοῖσιν·
Σὺ δὴ καὶ ἵμερον θείων καλλῶν δίδου αἰὲν,
Ἄναξ, ἡμετέρῃσι ψυχαῖς· ὠὴ παιάν.

## Ὕμνος ὄγδοος, ἐπιμηνίων ἕκτος, ἐς Ἄρτεμιν.

Ἄνασσ᾽ Ἄρτεμι, ἣ φύσεως τῆς θατέρου ἡγέαι
Προστατέεις τε· παρειληφυῖα γὰρ ἓν τε τὸ σύμπαν,
Εἶτ᾽ ἐς τοὔσχατον ἄλλῃ καὶ ἄλλῃ διακρίνεις
Ἐς μὲν πλείω εἴδεα, ἐς δέ θ᾽ ἕκαστ᾽ ἐξ εἰδέων,
Ἔκ τε ὅλων αὖ ἐς μέρε᾽ ἄρθρα τε· σὺ καὶ ψυχαῖς
Ἔκ τῆς πρὸς τὸ χέρειόν σφων διακρίσιος ἀλκὴν
Σωφροσύνην τε διδοῖς, ἰσχύν τ᾽ αὖ ἀρτεμίην τε
Σώμασιν. Ἀλλ᾽, ὦ πότνα, φυγὴν σὺ ἑκάστοτε αἰσχρῶν
Ἄμμι διδοῦσα, πολύπτωτον βίον ὄρθοε ἀμμόν.

[210] Ὕμνος ἔνατος, ἐπιμηνίων ἕβδομος, ἐς θεοὺς τοὺς οὐρανίους.

Ὦ τοῦδ' οὐρανοῦ ἄναξ Ἥλιε, ἵλαος εἴης,
Ἵλεως καὶ σὺ, Σελήνη, εἴης πότνια ἱρὴ,
Φωσφόρε τ', ἠδὲ Στίλβων, ἀγλαὼ ἠελίοιο
Αἰὲν ὀπάονε, ὕμμες τ', ὦ Φαίνων Φαέθων τε
Καὶ Πυρόεν, τοὶ πάντες ὕπαρχοι ἠελίοιο
Ἐστὲ ἄνακτος, καὶ τά τοι ἀμφὶ προνοίην ἡμέων
Κείνῳ, οὗ κε δέοι, συμπρὴσσετε· ὑμνέομεν δὴ
Ὕμμε καὶ ἄμμες, ἀγαυοὺς ἡμείων μελεδωνούς,
Ἄλλα θ' ἅμ' ἄστρα, προϊστορίῃ γε ἀφειμένα θείῃ.

Ὕμνος δέκατος, ἐπιμηνίων ὄγδοος, ἐς Ἀθηνᾶν.

Ἀθήνη ἄνασσα, ἣ εἴδεος οὐδαμᾶ ὕλης
Χωριστοῖο προστατέεις ἠδ' ἡγέαι, αὐτὴ
Τουτέω δημιοεργὸς ἐοῦσα μετ' εὐρυάνακτα,
Ἐκ σέθεν εἶδος ἅπαν προέχοντα, Ποσειδάωνα·
Ἥτε κινήσιος ὥσει γιγνομένης συμπάσης
Αἰτίη ἐσσὶ, τά κεν περίεργα προσγίγνοιτο,
Αὐτὴ ἑκάστων ἐξωθεῦσα· ἀτὰρ καὶ ἀφ' ἡμέων,
Ἤν τι ἑκάστοτε πλημμελὲς ἀφραίνουσι πελάζῃ,
Ὦ θεὰ, σὺν νόῳ θυμὸν ἐγείρουσ' ἔς δέον ἀμμόν.

Ὕμνος ἑνδέκατος, ἐπιμηνίων ἔνατος, ἐς Διόνυσον.

Βάκχε πάτερ, ψυχῶν λογικῶν γενέτορ πασάων,
Ὅσσαι οὐράνιαι, ὅσσαι τ' αὖ δαιμόνιαί γε,

[212] Ὅσσαι θ' ἡμέτεραι, μετ' ἄνακτα Ποσειδάωνα·
Ὅστε κινήσιος ἐσθλοῦ ἑλκομένης γε ἔρωτι,
Ἠδ' ἀναγωγῆς τῆς ἐπὶ λώϊον αἴτιος ἐσσί·
Σὺ καὶ ἄμμι δίδου ἀγαθῆς ἀπολειπομένοισιν
Θειοτέρης τε ἑκάστοτε πρήξιος, ἄφρονι γνώμῃ,
Αἶψά που ἐπὶ ταύτην σὺν νόῳ αὖ ἀνάγεσθαι,
Μὴ ἐσθλῶν πέρι ἄμμε ἐῶν ἐπὶ δηρὸν ἀφραῖνεν.

## Ὕμνος δωδέκατος, ἐπιμηνίων δέκατος, ἐς Τιτᾶνας.

Τὸν θνητῆς φύσεως συμπάσης δημιοεργὸν,
Εἶ' ἄγεθ', ὑμνήσωμεν ἄνακτα Κρόνον, Διὸς υἷα,
Πρεσβύτατόν θ', ὁπόσοι νόθοι ἐκ Διὸς ἄλλοι ἔασιν
Ταρτάριοι Τιτῆνες, τούς ῥα καὶ αὐτοὺς σὺν τῷ
Ὑμνείωμεν, πάντας ἀρ' ἐσθλοὺς, νόσφι τε κηρῶν,
Θνητῶν ἠδ' ἐπικήρων περ γενετῆρας ἐόντας·
Ἀφροδίτην τε δάμαρτα Κρόνου δὴ τουτέω ἱρήν,
Πᾶνά τε θηρῶν ἀρχὸν, φυτῶν τ' αὖ Δήμητραν,
Θνητοῦ θ' ἡμετέροιο Κόρην, ἄλλους τε πρόπαντας.

## Ὕμνος τρισκαιδέκατος, ἐπιμηνίων ἑνδέκατος, ἐς Ἥφαιστον.

Ἥφαιστ' ἄναξ, ὅς τε θεῶν ὑπερουρανιώνων,
Ὅσσοι Ὀλύμπιοι, ὅσσοι Ταρτάριοι θ' ἅμα, ἡγέαι
Προστατέεις τε, μετ' εὐρυάνακτα Ποσειδάωνα,
Τοῖσιν καὶ χώρην τε νέμεις ἕδρην τε ἑκάστῳ·
Ὅς στάσεως ἐν ταυτῷ, τῷ θ' ὁλῳ αἴτιος ἐσσὶ,

[214] Ἠδέ θ’ ἑκάστοις, τοῖσιν ἀϊδιότητα πορίζες
Αὐτὸς ἄρ’, ἠὲ Ποσειδῶν, πατρὸς ἑοῦ διὰ βουλάς·
Σὺ φρούρει καὶ ἄμμε, διδοὺς μάλα δὴν καλῇσιν
Ἐν πρήξεσσιν ἑκάστοτε μίμνεν γιγνομένοισιν.

## Ὕμνος τεσσαρεσκαιδέκατος, ἐπιμηνίων δωδέκατος, ἐς δαίμονας.

Ἀθανάτοισι σὺν ἄλλοις καὶ τούς γε προσεχῆας
Ἄμμιν τούτους ὑμνήσωμεν δαίμονας ἁγνοὺς,
Τοί ῥα θεοῖς τὰ πρὸς ἡμέας ἄλλοις θειοτέροισιν
Εὖ μάλ’ ὑπηρετέοντες, συχνὰ ἰδ’ ἐσθλὰ ἅπαντα
Ἄμμι διδοῦσι, τὰ δὴ ἔς γε σφέας ἐκ Διὸς αὐτοῦ
Χωρέει πάντα, θεῶν διὰ τῶν ἄλλων κατιόντα·
Ἔνθεν τοι καὶ ἡμέας, οἱ μὲν καθαίροντες,
Οἱ δ’ ἀνάγοντες, τοὶ δὲ φρουρεῦντες, σώζουσιν,
Ῥεῖα μάλ’ ὀρθοῦντες νόον· ἀλλ’ ἵλεῳ εἴητε.

## Ὕμνος πεντεκαιδέκατος, ἐπιμηνίων τρισκαιδέκατος, ἐς σύμπαντας θεούς.

Ζεῦ ὕψιστε, θεῶν ὅς τ’ ἔξοχος ἐσσὶ προπάντων,
Δημιοεργὸς ἐὼν πρέσβιστος [παγ]γενέτωρ τε·
Ὕμμες τ’, ὦ πάντες θεοὶ, ὅσσοι Ὀλύμπιοί ἐστε,
Ὅσσοι Ταρτάριοί θ’, ἠδ’ οὐράνιοι, χθόνιοί τε·
Διδοῖτ’, εἴ τις ἁμαρτὰς δεινὴ, ἀτάσθαλά τ’ ἔργα,
Ἄμμι καθηραμένοισιν, ἀμύμοσιν ὔμμι πελάζεν,
Ἦ κε μάκαρ χἠμῖν γίγνοιθ’ ὁ βίος· καί ῥ’, ὦ Ζεῦ,

[216] Σὺ ἐπὶ πᾶσιν, ὃς ἂρ πάντων κυριώτατος ἐσσὶ,
Πρώτιστόν θ’ ὡυτὸς τελέθων, πύματόν θ’ ὁμοῦ ἐσθλόν,

## Ὕμνος ἑκκαιδέκατος, ἱερῶν δὲ πρῶτος, ἐς Δία.

Ζεῦς οἶος πάμπαν ἀγένητός τ’ αὐτοεών τε,
Παγγενέτωρ δέ τε, παμμεδέων θ’, ὃς πάντα οἷ αὐτῷ,
Ἐγκρύπτων καθ’ ἓν, οὐδέ τι χωρὶς, ἔθεν γε ἕκαστ’ ἄν
Ἐκπροΐησι διακριδὸν, ἕν τι καὶ οὕτω ὅλον γ’ αὖ
Τοὖργον συντελέων, πάμπληρες κάλλιστόν τε
Εἰς ὃ ἐνῆν, ἅτε ἓν καὶ πάγχυ ἐὼν φθόνου ἐκτός.
Ἀλλ’, ὦ Ζεῦ, σὺ καὶ ἄμμε τεῶν παίδων δι’ ἀγαυῶν
Σὺν τῷ ὅλῳ ἄγε, οἷ τεῒν ἔγνωσται, ἰθύνων·
Καί τ’ ἀρχὰς δίδου ἄρχεν εὖ, ἔργα τ’ ἀνύεν πρήξεων.

## Ὕμνος ἑπτακαιδέκατος, ἱερῶν δεύτερος, ἐς θεοὺς τοὺς Ὀλυμπίους.

Εἶ’ ἄγεθ’, ὑμνείωμεν ἄνακτα Ποσειδάωνα,
Ὅςτε πρεσβύτατος παίδων Διός ἐστι προπᾶντων,
Ἠδὲ κράτιστος, τῆςδε τε δεύτερος ἐκ πατρὸς ἀρχὸς
Συμπάσης γενέθλης, ἠδὲ προσεχὴς ἡμείων
Δημιοεργὸς· σὺν τῷ καὶ Ἥρην βασίλειαν,
Ἥτε θεάων πρεσβυτάτη αὖ ἔφυ Διῒ πατρί·
Πρὸς δὲ καὶ ἄλλους ὑμνείωμεν, ὅσοι ἐν Ὀλύμπῳ
Εἰσὶ θεοὶ, τοὶ ἀθανάτων τῶν ἐνθάδε πάντες
Προστάται ἠδὲ παραίτιοι· ἀλλ’ ἵλεῳ εἴητε.

## [218] Ὕμνος ὀκτωκαιδέκατος, ἱερῶν τρίτος, ἐς πάντας θεούς.

Ὦ πάντες θεοὶ, οἵτε μετὰ Ζῆν' ἔξοχα ἐσθλὸν
Πάμπαν ἀμύμονές ἐστε καὶ αὐτοὶ, νοσφί τε κηρῶν·
Τῶν ῥα Ποσειδάων κοροφαῖος ἰδ' ἐκ Διὸς ἀρχός·
Οἵ θ' ὑπερουράνιοι πέλεθ', οἵ τ' αὖ οὐρανοῦ ἐντὸς,
Πάντες ἀγαυοὶ, ὕμμε γε, οἵτε φύσιν καὶ αὐτοὶ
Ὕμμιν συγγενέ' ἔσχατοι ἔσχομεν, ὑμνέομεν δή.
Ὠὴ, ὦ μάκαρες τ' αὐτοὶ, δῶταί τε ἐάων,
Ἀλλὰ καὶ ἄμμιν, τοῖσι βίος μὴ αἰὲν ἀκηδὴς,
Καλὰ αὖ ὕμμες ἰδ' ἐσθλὰ νέμοντες, ἀνορθόετ' αἰέν.

## Ὕμνος ἐννεακαιδέκατος, ἱερῶν τέταρτος, ἐς σύμπαντας τοὺς μετὰ τοὺς Ὀλυμπίους θεούς.

Ὦ Κρόν' ἄναξ, ὃς Τιτήνων ὑπερουρανιώνων,
Καὶ αὐτῶν μεδέεις· σύ θ' ὃς οὐρανοῦ αὖ τοῦδ' ἡγέαι,
Ἥλιε, παντὸς, τῷ τε πλάνητες ἕπονται ἄλλοι·
Τοῖϊν θνητῶν σύμπασ' ἐξέβλαστε γενέθλη,
Ἀμφοῖν ἐκ σφῶϊν, Κρόνου ἠδέ τ' ἄρ' Ἠελίοιο·
Τιτῆνες δὲ δὴ ἠδὲ πλάνητες, ὕπαρχοι, σφῶϊν
Ἄλλοι ἐπ' ἄλλα συνεργοί ἀτὰρ καὶ ὕμμε γε ἄμμες
Ὑμνέομεν, συχνὰ καὶ δι' ὑμέων ἐσθλά τ' ἔχοντες·
Σὺν δ' ὕμιν καὶ ἀπλανέ' ἄστρ', ἰδὲ δαίμονας ἁγνούς.

## [220] Ὕμνος εἰκοστὸς, ἱερῶν πέμπτος, ἐς Πλούτωνα.

Ὦ ’ναξ Πλούτων, ἀνθρωπείης φύσιος ἀρχὲ
Ἠδὲ προστάτα, ἐκ Διὸς αὐτοῦ τοῦτο λεληχὼς,
Πάντα καθ’ ἓν, τά κεν ἄμμι διακριδὸν ἐγγίγνοιτο
Ἠδὲ ἐνείη, ἔχων, εὖ προστατέεν καὶ ἡμέων
Πάμπαν τ’ ἐνθάδε, ἠδ’ ἐνθένδ’ ἀνάγων αὖ αἰέν·
Ὅν περὶ ἥρωες, φύσις ἡμέων γ’ ἡ προέχουσα,
Ἠδ’ ἄλλοι φίλοι ἡμείων καλοὶ ἀγαθοί τε
Τῷ τε Κόρη θεὸς ἐσθλὴ Ταρτάρεός γε σύνεστιν,
Ἄμμι τὸ θνητὸν προσδεῦσ’ ἐς δέον· ἵλαος εἴης.

## Ὕμνος εἷς καὶ εἰκοστὸς, ἱερῶν ἕκτος, ἐς Δία.

Ζεῦ πάτερ, ὀβριμοεργὲ, μεγασθενὲς, ἀρχὲ ἐάων,
Παγγενέτορ· σῷ μὲν νόῳ, ἔξοχα ἐσθλὸν ἐόντος,
Οὐδ’ ἄμμες καλῶν τῶν ἔν ῥα θεοῖς γεγάαμεν
Ἄμμοροι· ἀλλὰ ἀναγκαίῃ τῇ ἐκ τοῦ θνητοῦ
Καὶ ἅμ’ ἁμαρτητοὶ, ἐπανορθωτοὶ δέ τ’ αὖ αἰέν.
Δὸς δὴ ἄμμιν καὶ νῦν ἀμπλακιῶν κακότητος
Λυθεῖσιν, διὰ παίδων σῶν, οἷς τ’ ἐπέτρεψας,
Εὐαγέεσσιν τοῖς νόον ὀρθὸν σχοῦσι πελάζεν,
Ὣς τὶν ἑκάστοτε μειλιχίῳ συνίοιμεν ἰδ’ ἱλέῳ.

[222] Ὕμνος δύο καὶ εἰκοστὸς, ἐφημερίων δὲ πρῶτος, ἡμέρᾳ ᾀδόμενος δευτέρᾳ.

Μὴ ὑμῖν ἐσθλῶν τὴν χάριν, ὦ μάκαρες θεοὶ, εἰδὼς
Παυσαίμην, τά τέ μοι διὰ ὑμέων σύμπαντ’ ἐστὶν
Ἠδ’ αἰὲν γέγονεν, τῶν δώτης δὴ ὕπατος Ζεῦς.
Μὴ κοινοῦ ἀγαθοῦ γένεος ὀλιγωρήσαιμι
Τοῦ ’μοῦ, ὅτου τίς μοι δύναμις· πρόφρων δὲ τὸ κοινὸν
Δρῶν εὖ, τοῦθ’ ἅμα καὶ ἐμὸν εἰδοίην μέγ’ ὄνειαρ.
Μὴ κακοῦ, ᾧ κεν ἑκάστοτε συμϐάλλοι, γιγνοίμην
Αἴτιος ἀνθρώπων, ἀγαθοῖο δὲ, ᾗ κε δυναίμην,
Ὡς μάκαρ ὔμμιν ἐϊσκόμενος κἀγὼ γιγνοίμην.

Ὕμνος τρεῖς καὶ εἰκοστὸς, ἐφημερίων δεύτερος, ἡμέρᾳ ᾀδόμενος τρίτη.

Μή μοι ἀκοσμίη, ὦ θεοὶ, εἴη τερπνῶν ἡδέων,
Ἀλλ’ αὐτῶν ὅρον αἰνοίην, ἐς ὃ μὴ κακίη τις
Ψυχῇ ἢ [καὶ] σώματι προσγίγνοιτο ἀπ’ αὐτῶν.
Μὴ ἀπλήστως ἀμφὶ χρήματ’ ἔχοιμι· μέτρον δὲ
Ποιοίμην καὶ τουτέων, σώματος ἥ τέ κε χρείω
Κοσμίη εἴη, ὡς αὐταρκίῃ ἀγαλλοίμην.
Μὴ κενεῆς ποτε δόξης αἱμύλοιο γενοίμην
Ἥσσων, κεῖνο ἄρ’ αὐτῆς χρηστὸν μοῦνον ἐγνωκὼς,
Ὅττι κεν εἰς ἀρετὴν θείην φέροι ἀτρεκέα τε.

## [224] Ὕμνος τέσσαρες καὶ εἰκοστὸς, ἐφημερίων τρίτος, ἡμέρᾳ ᾀδόμενος τετάρτῃ

Μή με καθαιροῖεν τύχαι, ὦ θεοὶ, θνητὸν ἐμεῖο
Καββάλλουσαι ἑκάστοτε, εἰδότα ἀθάνατόν μοι
Τὴν ψυχὴν, θνητοῖο δὲ χωριστὴν, ἰδὲ θεῖον.
Μὴ ὅσα ἀνθρώπων πάρα τρηχέ’ ἀπαντᾷ, τουτέων
Μή με ταράττοι μηδὲν, ἐλευθερίην ἀσκεῦντα,
Μηδὲ κακῇ ἰδέῃ γε χρείοσι δουλεύοντα.
Μὴ, καλοῦ ποτε εἵνεκα πρῆξαι ἔς γ’ ἐμὲ ἧκον,
Θνητοῦ ἐμοῦ πεφιδοίμην, ἀλλ’ ὡς ἀθάνατός μοι
Ἡ γε ψυχὴ ἐοῦσα ἄριστα ἔχοι, μέλοι αἰέν.

## Ὕμνος πέντε καὶ εἰκοστὸς, ἐφημερίων τέταρτος, ἡμέρᾳ ᾀδόμενος πέμπτῃ.

Ὄλβιος, ᾧ κεν ἑῆς ψυχῆς μέλῃ ἀθανάτοιο
Αἰὲν, ὅπως ὡς καλλίστη τελέθοι, θνητοῦ δὲ
Μὴ πάνυ τοι κήδηται, ἢν δὲ δέῃ, καὶ ἀφειδέῃ.
Ὄλβιος, ὃς κε βροτῶν τοῖς τι πλήσσουσιν ἑαυτὸν
Μήποτε δουλοῖ ἀγνωμονέουσιν· ἔχων δὲ ψυχὴν
Ἀτρεμέ’ αὐτὸς, κείνων τῆς κακίης περιείη.
Ὄλβιος, ὅς κ’ ἐπὶ δαιμονίῃσι τύχῃσι μὴ αὐτὸς
Ψυχὴν ἀλγέῃ πικροτέρῃσι, φέρῃ δέ τε ῥεῖα,
Ἐν τῷ αὐτέου. ἀθανάτῳ [μόνον] ἐσθλὸν ὁρίζων.

## [226] Ὕμνος ἓξ καὶ εἰκοστὸς, ἐφημερίων πέμπτος, ἡμέρᾳ ᾀδόμενος ἕκτῃ.

Ὄλβιος, ὅς κεν μὴ μερόπων δόξαις κενεῇσιν
Ἀφραδέως προσέχων, ἀλλ᾽ αὐτῷ εὖ φρονέοντι,
Ἰθείῃ γνώμῃ ἀρετὴν θείην μελετῴη·
Ὄλβιος ὅς κεν μὴ κτεάνων ἀπερείσιον αἰὲν
Πληθὺν μὰψ εἰκῇ τε διώκῃ· ἀλλὰ χρέεσσιν
Σώματος ἐμμελέεσσι, τὸ αὐτῶν μέτρον ὁρίζῃ·
Ὄλβιος, ὅς κεν τέρψιος αἴσιμον οὖρον ἄγῃσιν,
Ἥ κεν μὴ ψυχῇ προσεφέλκηται κακίης τι,
Ἢ καὶ σώματι, ἀλλ᾽ ἀρετῇ θείῃ συναεὶδῃ.

## Ὕμνος ἑπτὰ καὶ εἰκοστὸς, ἐφημερίων ἕκτος, ἡμέρᾳ ᾀδόμενος ἑβδόμῃ.

Ὄλβιος, ὃς κεν μὴ ἰδίῃ αὐτὸς πλεονεκτῶν,
Δεινῇ ὑπ᾽ ἀφραδίῃ κακὰ τεύχῃ ἀνθρώποισιν,
Ἐσθλὰ δ᾽ ἀεὶ, αὐτοῖς μακάρεσσι θεοῖσιν ὁμοῖος.
Ὄλβιος, ὅς κεν μὴ κοινοῦ ἀγαθοῦ ὀλιγωρέῃ
Οὖ γένεος· μᾶλλον δ᾽ εἰδὼς καὶ τοῖσι θεοῖσιν
Τοῦ κοινοῦ μέλον, οὐδ᾽ ὃς ἄρ᾽ αὐτὸ καταπροδιδοίη.
Ὄλβιος, ὅς κε θεοῖσιν ἑάων τὴν χάριν, ἅσσ᾽ ἂν
Εἴη οἱ, εἰδῇ, καὶ δὲ πρὸ πάντων αὐτῷ Ζηνὶ,
Ἔνθεν πρώτου καλά τε ἐσθλά θ᾽ ἅπασι πρόεισιν.

[228] Οὗτοι καὶ ἐς θεοὺς ἑπτὰ καὶ εἴκοσιν ὕμνοι οἱ σύμπαντες, ἐννέα τε ἕκαστος στίχων, καὶ ἐν ἑξαμέτρῳ ᾀδόμενοι τόνῳ, μέτρου τοῦ ἡρωϊκοῦ, ὅςπερ ἄρα κάλλιστος ῥυθμῶν. Οὔσης γὰρ συλλαϐῆς τῆς μὲν μακρᾶς, τῆς δὲ βραχείας, καὶ τῆς μὲν βραχείας ἑνὸς ἀεὶ γιγνομένης χρόνου, τῆς δὲ μακρᾶς δυοῖν μὲν τὰ πολλὰ, ἐν δὲ ταῖς μελῳδίαις ἔσθ’ ὅτε καὶ πλειόνων, τοῦ δὲ μέτρου τούτου τοῦ ἡρωϊκοῦ δυοῖν μόνοιν χρωμένου ποδοῖν, δακτύλῳ τε δὴ καὶ σπονδείῳ, καὶ ὄντος τοῦ μὲν δακτύλου ἔκ τε μιᾶς μακρᾶς θέσεως καὶ δυοῖν βραχειῶν ἄρσεως, τοῦ δὲ σπονδείου ἔκ τε μιᾶς μακρᾶς θέσεως καὶ μακρᾶς ἄρσεως, ἡ ἐκ μὲν μακρᾶς ἀμφοῖν τοῖν ποδοῖν τούτοιν ἀρχὴ, ἐς δὲ ἄρσιν τελευτὴ, καὶ ἅμα ἀλλήλοιν ἰσότης, γενναιότητός τι τούτῳ δὴ μᾶλλον ἢ ἄλλῳ ὁτῳοῦν ῥυθμῷ περιποιεῖ.

## λϛ΄. Προσρήσεών τε καὶ ὕμνων χρήσεως διάταξις.

Ἐπεὶ δὲ δὴ ἡμῖν αἵ τε ἐς θεοὺς προσρήσεις, οἵ τε ὕμνοι ἐκτέθεινται ἤδη, ῥητέα δὴ, ὡς χρὴ ἑκάστοις αὐτῶν χρῆσθαι. Καὶ πρῶτον μὲν καιρὸν ἑκάστῃ προσρήσει εἶναι, τῇ μὲν ἑωθινῇ τὸν ἀπὸ κοίτης τε καὶ πρὸ ἀρίστου τοῖς γε ἀριστῶσι, τοῖς δ’ ἄλλοις πρὸ τῶν καθηκόντων ἔργων· ταῖς δὲ δειλιναῖς τὸν μετὰ μεσημϐρίαν τε ἀεὶ καὶ πρὸ τοῦ δείπνου· τῇ δ’ ἑσπερινῇ τὸν ἀπὸ δείπνου τε καὶ πρὸ τῆς κοίτης· πλήν γε δὴ τῆς ἐπὶ νηστείᾳ προσρήσεως

[230] ἑσπερινῆς· ταύτῃ γὰρ μετὰ μὲν δυσμὰς τὰς τοῦ ἡλίου ἀεὶ, πρὸ δὲ τοῦ δείπνου χρῆσθαι. Καιροὶ μὲν δὴ οὗτοι προσρήσεως ἑκάστης. Τόπος δὲ, τά τε ἱερὰ, καὶ πᾶς ὁ κόπρου τε ἀνθρωπίνης καὶ νεκρῶν ἀνθρωπείων δὴ καὶ τούτων καθαρεύων θηκῶν. Χρῆσθαι δ' αὐταῖς ἑκάστοτε ὧδε. Πρῶτον μὲν τὸν ἱεροκήρυκα οἰκείως ἐφ' ἑκάστῃ προσρήσει τὸ κήρυγμα κηρύττειν, ἐὰν μὲν τῶν τις καθάπαξ ὑπὸ ἱερέων του ἀποδεδειγμένων ἱεροκηρύκων παρῇ· εἰ δὲ μὴ, ὅν γ' ἂν ἱερεὺς, ἣν παρῇ, ἤ τις ἄλλος τῶν παρόντων, ὅς ποτ' ἂν ἡλικίᾳ τύχῃ ἤ τῳ ἄλλῳ ἂν σχήματι σεμνότατος, τηνικαῦτα ἐπιτάξῃ. Τὸ δὲ κήρυγμα ἐκεῖνο εἶναι, Ἀκούετε, οἱ θεοσεβεῖς· ὥρα ἑωθινῆς ἢ δειλινῆς ἢ ἑσπερινῆς θεοῖς προσρήσεως· ὅλῃ διανοίᾳ, ὅλῃ γνώμῃ, ὅλῃ ψυχῇ, θεούς τε πάντας καὶ ἐπ' αὐτοῖς Δία τὸν βασιλέα προσείπωμεν. Οὗ ἐν μὲν ἡμερῶν ταῖς βεβήλοις ἅπαξ, δὶς δὲ ταῖς ἱερομηνίαις, ταῖς δέ γε νουμηνίαις καὶ τρὶς κεκηρυγμένου, πρῶτα μὲν, ἄνω, τε ἅπαντας βλέψαντας, καὶ ἐς γόνατε ἄμφω κεκλιμένους, τώ τε χεῖρε ᾐρκότας ὑπτίω, ἐπᾴδειν, Ἵλεῳ εἴητ', ὦ θεοί. Σὺν ᾧ προσφθέγματι, θεοὺς πρότερον τοὺς Ὀλυμπίους προσκυνεῖν τῇ μὲν δεξιᾷ τοῖν χειροῖν τοῦ ἐδάφους ἁπτομένους, τοῖν δὲ γονάτοιν θάτερον ἐν τῷ τῇ χειρὶ τοῦ ἐδάφους ἅπτεσθαι ὑπαίροντας. Ἐσάπαξ δὲ τό τε πρόσφθεγμα τοῦτο ἐπάσαντας, καὶ ἐσάπαξ προσκυνήσαντας, ἐπ' ἀριστερᾷ αὖ θεοὺς τοὺς λοιποὺς προσκυνεῖν, ὡσαύτως τε καὶ ταὐτὸ ἐπᾴδοντας. Εἶτ' αὖ Διῒ τῷ βασιλεῖ ἐπᾴδειν μὲν, Ζεῦ βασιλεῦ, ἵλαθι· προσκυνεῖν δὲ ἀμφοῖν μὲν, τοῖν γονάτοιν, ἀμφοῖν δὲ καὶ τοῖν χειροῖν, καὶ ἐπὶ τούτοις τῇ κεφαλῇ τοῦ ἐδάφους ἁπτο-

[232] μένῃ. Τρὶς δὲ τό τε πρόσφθεγμα τοῦτο ἐπᾴδειν, καὶ τρὶς προσκυνεῖν, καὶ μίαν σύμπασαν ταύτην προσκύνησιν λογίζεσθαι. Ἦ ἑκάστης μὲν ἡμέρας μιᾷ οὑτωσὶ χρῆσθαι καθ’ ἑκάστην πρόσρησιν· ταῖς δ’ ἱερομηνίαις, καὶ τριπλασιάζειν. Προσκυνεῖν δὲ, ἱερέως, ἢ τοῦ ἄλλως τῶν γε παρόντων σεμνοτάτου, κατάρχοντας τῆς προσκυνήσεως, ἐπᾴδοντάς τε, τὸ μὲν ἐς θεοὺς πρόσφθεγμα, ἐν μὲν τῇ ἐπὶ δεξιᾷ προσκυνήσει, ὑποφρυγιστὶ, ἐν δὲ τῇ ἐπ’ ἀριστερᾷ, φρυγιστί· τὸ δ’ ἐς Δία, ὑποδωριστί. Μετὰ δὲ, τοῦ γε ἱεροκήρυκος αὖ κεκηρυχότος, Τῇ ἑωθινῇ ἐς θεοὺς, ἢ δευτέρᾳ, ἢ τρίτῃ τῇ ἐς τὸν βασιλέα Δία,ἢ τῇ ἑσπερινῇ ἐς θεοὺς προσρήσει, πρόσχωμεν, ἢ τῇ ἑσπερινῇ ἐς Δία, ἐς γόνατε ἄμφω κεκλιμένοι, οὕτω τόν γ’ ὑπὸ τῶν παρόντων τοῦ σεμνοτάτου ἐπιτεταγμένον, τὴν τῇ ὥρᾳ καθήκουσαν ὕπερ ἁπάντων τῶν παρόντων πρόσρησιν διεξιέναι.

Τῆς δὲ προσρήσεως πεπαυμένης ἢ προσρήσεων, κεκηρυχότος αὖθις τοῦ ἱεροκήρυκος, Τοῖς ὕμνοις τοῖς [ἐς] θεοὺς πρόσχωμεν, ᾄδεσθαι τοὺς ὕμνους, ἐν μὲν τῶν ἡμερῶν ταῖς βεβήλοις ψιλῶς τὰ πολλὰ, ἐν δὲ ταῖς ἱερομηνίαις τὰ πολλὰ ἐν μέλει. Καῖ ἐν μὲν ταῖς βεβήλοις ταύταις ἡμέραις, πρῶτον μὲν τὸν ἐπιμήνιον, ἔπειτα τῶν ἐφημέρων τὸν καθήκοντα, καὶ τρίτον τὸν πρῶτον τῶν συμπάντων, τόν γε ἐς Δία διετήσιον, ἐσάπαξ ἕκαστον ᾀδόμενον. Ἐν δὲ ταῖς ἱερομηνίαις, πρῶτον μὲν τῶν ἱερῶν τὸν καθήκοντα, ἔπειτα τὸν ἐπιμήνιον, πλήν γε δὴ

[234] τοῦ πρώτου τῶν ἐπιμηνίων· τοῦτον γὰρ καὶ πρὸ τῶν ἱερῶν ᾄδεσθαι πάντων. Ἄᾳδεσθαί τε τούτοιν μὲν ἑκάτερον ἐς δὶς ἔν γε ταῖς ἱερομηνίαις, μετὰ δὲ, τρίτον τὸν διετήσιον τὸν ἐς Δία ἐς τρίς. Τὸν δὲ δεύτερον τῶν συμπάντων ὕμνων, διετήσιόν τε καὶ αὐτὸν ἐς θεοὺς, ἐν ταῖς δειλιναῖς προσρήσεσιν ᾄδεσθαι, διὰ μέσων τῆς τε πρώτης καὶ δευτέρας, καὶ αὖ δευτέρας τε καὶ τρίτης, ἐν μὲν ταῖς ἱερομηνίαις ὅλον καθ’ ἑκατέραν χώραν, ἐν δὲ τῶν ἡμερῶν ταῖς βεβήλοις, ὑπερήμισυ μὲν αὐτοῦ κατὰ τὴν προτέραν, τὸ δέ γε λοιπὸν κατὰ τὴν ἑτέραν. Ἄᾳδεσθαι δ’, ἔν γε μέλει ᾀδομένους, ἄμφω μὲν τὼ διετησίω καὶ ἐπιμηνίων τόν τε πρῶτον καὶ τρισκαιδέκατον, ἔτι δὲ τῶν ἱερῶν τόν τε πρῶτον καὶ τρίτον καὶ ἕκτον, ὑποδωριστί. Τῷ γὰρ Διῒ τῷ βασιλεῖ καὶ αὖ πᾶσιν ὁμοῦ τοῖς θεοῖς ταύτην τὴν ἁρμονίαν ἀπονέμομεν, μεγέθους τε ἔχουσαν πλεῖστον, καὶ ἅμα θαῤῥαλέῳ τε καὶ ἡρωϊκῷ προσήκουσαν ἤθει. Τὸν δ’ αὖ δεύτερον τῶν ἐπιμηνίων, τρίτον τε καὶ τέταρτον καὶ πέμπτον, ἕκτον τε καὶ ὄγδοον δὲ καὶ ἔνατον καὶ ἑνδέκατον, πρὸς δὲ δεύτερον τῶν ἱερῶν, ὑποφρυγιστὶ, τῆς ἁρμονίας αὖ ταύτης τῶν θεῶν τοῖς Ὀλυμπίοις ἀπονεμομένης, μεγέθει τε δευτερούσης ἔν γε ἁρμονίαις, καὶ ἅμα θαυμαστικῷ τῶν καλῶν προσηκούσης ἤθει. Τὸν μέντοι ἐπιμηνίων ἕβδομον δέκατον τε καὶ δωδέκατον, καὶ ἔτι τέταρτον τῶν ἱερῶν, φρυγιστὶ, τοῖς μετὰ τοὺς Ὀλυμπίους θεοῖς ταύτης αὖ τῆς ἁρμονίας ἀπονεμομένης διὰ τὸ μεγέθους τε μέσως πως ἔχειν, καὶ ἅμα εὐθυμουμένῳ προσήκειν ἤθει. Τὸν δέ γε

[236] πέμπτον τῶν ἱερῶν, τούς τε ἐφημέρους πάντας, ὁπότε δὴ ἐν μέλει καὶ οὗτοι ᾄδοιντο, δωριστὶ, τῆς ἁρμονίας αὖ ταύτης ἀνθρώποις καὶ τῷ ἀνθρώπων προστάτῃ θεῷ ἀπονεμομένης, διὰ τὸ ἐναγωνίῳ μάλιστα προσήκειν ἤθει, ἀγῶνος ἀεὶ διὰ τὸ τῆς φύσεως εὐόλισθόν τε καὶ ἁμαρτητὸν τῶν γε ἀνθρωπείων δεομένων πραγμάτων.

Καὶ μὲν δὴ συμπάντων τῶν γε ἐπιμηνίων ὕμνων τριῶν ὄντων καὶ δέκα, γιγνομένων δὲ τοσούτων καὶ τῶν μηνῶν, ἐπειδὰν ἐμβόλιμος προσγίγνηται τῷ ἔτει μὴν, ᾀδομένου τε ἑκάστου τῶν ὕμνων ὅτῳ ἂν μηνῶν ἔκ γε τῆς τάξεως καθήκῃ, ἀπὸ μὲν τῆς πρὸ τῆς νουμηνίας ἑσπέρας ἀρχομένου, τελευτῶντος δὲ ἐς τὴν τῆς ἐπιούσης ἕνης τε καὶ νέας δείλην, ἐπειδὰν δωδεκάμηνον τὸ ἔτος γίγνηται, τὸν μὲν δωδέκατον τῶν ὕμνων μετὰ τὰς ἑσπερινὰς τοῦ δωδεκάτου μηνὸς ᾄδεσθαι προσρήσεις, τὸν δ’ αὖ τρισκαιδέκατον κατὰ τάς τε ἑωθινὰς καὶ δειλινάς. Ὄντων δὲ τῶν ἱερῶν ἓξ ὕμνων, τοσούτων δὲ καὶ ἱερομηνιῶν μηνὸς τῶν γε πλήρων ἑκάστου ἀγομένων, πλήν γε δὴ τοῦ τε νέου καὶ τοῦ τελευταίου· καὶ ᾀδομένου τοῦ μὲν πρώτου τῶν τοιούτων ὕμνων νουμηνίᾳ, ὀγδόῃ δ’ ἱσταμένου τοῦ δευτέρου, διχομηνίᾳ δὲ τοῦ τρίτου, ὀγδόῃ δὲ φθίνοντος τοῦ τετάρτου, καὶ τοῦ μὲν πέμπτου ἕνῃ, τοῦ δ’ ἕκτου ἕνῃ τε καὶ νέᾳ, ἀρχομένων τε ἑκάστων ἀπὸ μὲν τῆς πρὸ τῆς οἰκείας ἱερομηνίας ἑσπέρας· τελευτώντων δ’ ἐς τὴν τῆς ἱερομηνίας δείλην, ἐπειδὰν μὴ πλήρης ὁ μὴν γίγνηται, τῆς ἕνης ἐκλειπούσης, τὸν μὲν πέμπτον τῇ πρὸ τῆς ἕνης τε καὶ νέας ᾄδεσθαι ἑσπέρᾳ, τὸν δ’ ἕκτον αὐτῇ τῇ ἕνῃ

[238] τε καὶ νέᾳ, ἕωθέν τε δὴ καὶ δείλης. Μηνὸς δὲ τοῦ νέου καὶ τῆς δευτέρας τε καὶ τρίτης ἱσταμένου ἱερομηνίαιν ἀγομένοιν, τοῖν μὲν πρὸ αὐτοῖν ἑσπέραιν, τὸν καθήκοντα τὸν ἐφημέρων πρὸς τῷ ἐπιμηνίῳ ᾄδεσθαι, δηλαδὴ ὅτι πρὸ μὲν τῆς δευτέρας τὸν πρῶτον, πρὸ δὲ τῆς τρίτης τὸν δεύτερον, δίς τε ᾀδομένω καὶ τούτω ἑκατέρω καὶ ἐν μέλει, διὰ τὸ ἱερομηνίαιν καὶ τούτω ἡγεῖσθαι τὼ ἑσπέρας. Αὐτῇ δὲ δευτέρᾳ τῇ τε τρίτῃ, ἕωθέν τε δὴ καὶ δείλης, τοὺς αὐτούς τε ᾄδεσθαι ὕμνους καὶ ὡσαύτως, οὕς περ καὶ τῇ νουμηνίᾳ. Τοῦ δὲ δὴ λοιποῦ ἐφθημέρου τούτου, ᾄδεσθαι μὲν τοὺς καθήκοντας τῶν ἐφημέρων πρὸς τῷ ἐπιμηνίῳ· ᾄδεσθαι δ’ ἐσάπαξ μὲν, ἐν μέλει δὲ, οὐκ ἐν τῶν ἄλλων ἡμερῶν ταῖς βεβήλοις ἔν γε μέλει ᾀδομένους, ἀλλὰ ταῖς ἱερομηνίαις ἀεὶ, εἰ μή που ἀπορία τις εἴη τῶν μελῳδησόντων. Ἄᾳδεσθαι δ’ ὡσαύτως τοὺς ὕμνους, ἐσάπαξ τε δὴ καὶ ἐν μέλει, καὶ μηνὸς τοῦ τελευταίου ἀπιόντος, ἀφ’ ἑβδόμης δὴ ἄχρι τετράδος, καὶ ἔτι μὲν ταῖς προτεραίαις τε καὶ ὑστεραίαις ἱερομηνιῶν τριῶν τῶνδε, μηνὸς τετάρτου ὀγδόης ἱσταμένου, διχομηνίας μηνὸς ἑβδόμου, καὶ ὀγδόης φθίνοντος δεκάτου μηνός. Ταύταις μὲν οὖν ἡμερῶν βεβήλοις, ἐσάπαξ μὲν, ἐν μέλει δὲ, τοὺς καθήκοντας ᾄδεσθαι τῶν ἐφημέρων. Τετράδι δ’ ἀπιόντος μηνὸς τοῦ ἐσχάτου, ἑσπέρας ἱερομηνιῶν ἐπιουσῶν, ἄδεσθαι μὲν καὶ τηνικαῦτα πρὸς τῷ ἐπιμηνίῳ τόν γε δεύτερον τῶν ἐφημέρων, δίς γε μὴν ἑκάτερον, καὶ ἐν μέλει ᾄδεσθαι. Τρίτῃ μέντοι ἕωθέν τε δὴ καὶ δείλης τὸν πέμπτον ᾄδεσθαι τῶν ἱερῶν πρὸ τοῦ ἐπιμηνίου. Τῇ δὲ μετ’ αὐτὴν δευτέρᾳ, ἑσπέρας μὲν τῆς ἡγουμένης, τὸν πρῶτον τῶν γε ἐφημέρων πρὸς τῷ ἐπιμηνίῳ, δὶς καὶ

[240] τούτω καὶ ἐν μέλει ᾀδομένω, ἕωθεν δὴ καὶ δείλης, τοὺς αὐτούς τε ὕμνους καὶ ὡσαύτως, οὕςπερ καὶ τῇ ἕνῃ τε καὶ νέᾳ. Καὶ μὲν δὴ, καὶ τῇ μετ’ αὐτὴν ἕνῃ, ἢν πλήρης γε ὁ μὴν γίγνηται, ἕωθεν μὲν καὶ δείλης, τοὺς αὐτοὺς αὖ ᾄδεσθαι ὕμνους καὶ ὡσαύτως· ἑσπέρας δὲ τῆς ἡγουμένης, τὸν πέμπτον τῶν ἱερῶν, εἶτα τὸν ἐπιμήνιον. Ἢν δὲ κοῖλος γίγνηται ὁ μὴν, καὶ ἀντὶ τῆς ἕνης ἐκλειπούσης τετράδι τοῦ αὐτοῦ δὴ ἀπιόντος ἄγηται ἡ νηστεία, τῇ μὲν πρὸ αὐτῆς ἑσπέρᾳ τὸν τρίτον ᾄδεσθαι τῶν ἐφημέρων, αὐτῇ δὲ τῇ τετράδι τοὺς αὐτοὺς οὕςπερ καὶ τῇ ἕνῃ τε καὶ νέᾳ καὶ ὡσαύτως, δῆλα δὲ δὴ ὅτι καὶ ὁ ἐς Δία διετήσιος τρίτος τε καὶ ἔσχατος, μετὰ τοὺς ἄλλους ἑκάστοτε, ἡνίκ’, ἂν ὕμνοι οἱ ............

## μγ΄. Ἐπινομίς.

Ἃ μὲν οὖν τῆς βίϐλου ἐν ἀρχῇ ἡμῖν τῆςδε προυτέθη, ἐξείργασταί τε σὺν τῶν θεῶν τοῖς τῶν τοιούτων ἐφόροις, ἐφ’ οὓς δὴ ἡμεῖς καὶ Ποσειδῶ κορυφαῖον τήνδε ἀναφέρομεν τὴν συγγραφὴν, καὶ διαπεπέραταί γε ἱκανῶς. Ἐπιδέδεικται γὰρ ἡμῖν, ἥτις τε ἀρχὴ τῶν πάντων, καὶ ἐν τοῖς πᾶσιν αὖ τίνες μὲν πρῶταί τε φύσεις καὶ τῇ ἀρχῇ προσεχεῖς, τίνες δὲ δεύτεραι, τινὲς δὲ τρίται καὶ ἔσχαται, ὅ τε ἄνθρωπος ἐν αὐταῖς τίνα ποτὲ τὴν χώραν

[242] εἴληχε, καὶ ἐκ τίνων συνέστηκεν, οἵῳ τε ὄντι αὐτῷ οἷος καὶ βίος προσήκει, ὥστε δὴ καὶ εὐδαιμόνως ζῇν. Οὗ δὴ, κυριωτάτου τε ὄντος καὶ κοινοῦ ἐπιθυμήματος, ἅπαντες μὲν ἄνθρωποι ἐφίενται, ζητοῦσι δ’ αὐτὸ οὐκ ἐν τῷ αὐτῷ ἅπαντες βίῳ, ἀλλ’ ᾧ ....... ἀποδέδεικται ἕκαστα ἀπ’ ἐννοιῶν τε καὶ ἀξιωμάτων οὐκ ἀσθενῶν τινων καὶ ἀμφιλόγων, ἄλλων τε δὴ, καὶ τριῶν μεγίστων ἐκείνων, ἑνὸς μὲν, τοῦ ὡς ἡ ἀρχὴ αὕτη τῶν πάντων, ὁ μέγιστος θεὸς, ὅν γε ἡμεῖς πατρίῳ φωνῇ Δία καλοῦμεν, ἄκρως ἀγαθός ἐστίν, οὐδεμιᾶς αὐτῷ ἀγαθοῦ ὑπερβολῆς μὴ οὐκ ἐς ὅσον οἷόν τε βελτίστῳ εἶναι λειπομένης· ἑτέρου δὲ, τοῦ τάς τε οὐσίας ταῖς γεννῆσεσι ταῖς αὐτῶν, καὶ τὰς γεννήσεις ταῖς οὐσίαις ἀνάλογον ἔχειν δεῖν· καὶ τρίτου, τοῦ καὶ τὰ ἔργα ταῖς οὐσίαις, καὶ τὰς οὐσίας τοῖς ἔργοις τοῖς σφετέροις ἀνάλογον δεῖν καὶ αὐτὰ ἔχειν.

Τούτων γὰρ ὑποκειμένων ἀξιωμάτων βεβαίων, ἐκ μὲν τοῦ πρώτου, ἄλλα τε ἡμῖν τῶν καλῶς ἐχόντων δογμάτων ἀποδείκνυται, καὶ ὡς τὸ πᾶν ἅμα μὲν ἀΐδιον τῷ Διῒ γέγονεν, ἅμα δὲ καὶ ὅ τι δὴ κάλλιστον ἐκ τῶν ἐνόντων γεγονὸς, ἐν τῇ αὐτῇ μένει ἐς τὸν πάντα αἰῶνα καταστάσει, ἔκ γε δὴ τοῦ καθάπαξ αὐτῷ ἀποδεδειγμένου σχήματος ἀπαρακίνητον. Οὐ γὰρ ἂν ἐγχωροίη, ὅ, τι περ βέλτιστον ὄντα τὸν θεὸν ἢ μὴ παράγειν ποτὲ τοὖργον τὸ αὐτοῦ, μηδ’ εὖ ποιεῖν μηδοτιοῦν (δέοι γὰρ ἂν τὸ αὐτὸ βέλτιστον καὶ ἄλλοις τοῦ οἰκείου ἀγαθοῦ ἐς ὅσον τε ἐγχωρεῖ καὶ ἀεὶ μεταδιδόναι), ἢ εὖ τε ποιοῦντα καὶ παρά-

[244] γοντα, ἐνδεέστερόν ποτε τῆς δυνάμεως εὖ ποιῆσαι, καὶ χεῖρόν ποτε ἕξον τὸ αὑτοῦ ἔργον ἀποδοῦναι, ἢ οἷον ἂν γεγονὸς ὅ, τι δὴ κάλλιστον εἴη. Δῆλα γὰρ δὴ ὡς τῶν καθεστηκότων εἴ τι Ζεὺς παρακινήσειε, καὶ τὸ πᾶν, εἴτ᾽ ἔτι, εἴθ᾽ ὕστερον, χεῖρόν γε ἕξον ἀποδοίη. Ἐπεὶ κἂν μόριόν, τι αὑτοῦ μεταβάλῃ, ἤτοι οὐ πρότερον μεταβάλλειν εἰωθὸς, ἢ οὐκ ἐς τὸ εἰωθὸς μεταβαλὸν, ἀμήχανον μὴ οὐ καὶ ὅλον αὐτῷ συμμεταβαλεῖν τὸ σχῆμα. Τὸ γὰρ αὐτὸ σχῆμα, μὴ οὐχὶ πάντων ὡσαύτως μενόντων τῶν μορίων, οὐχ οἷόν τε σώζεσθαι.

Ἐκ δὲ δὴ ἀξιώματος τοῦ δευτέρου ἡ τῶν θείων πραγμάτων ἡμῖν διαφαίνεται κατάστασις. Διαιρούσης γὰρ τῆς τῶν πάντων οὐσίας ἔς τέ τινα ὅμοιόν τε ἀεὶ καὶ κατὰ πάντα τὰ αὐτὰ ὡσαύτως ἔχουσαν, ἔς τε τὴν ἐς χρόνον μὲν κινητὴν, ἀΐδιον δὲ, καὶ ἐς τρίτην τὴν θνητὴν, ἐπειδὴ ἑκάστῃ οὐσίᾳ γεννήσεως ἰδίας καὶ τῆς γε ἀνάλογον αὐτῇ ἑξούσης δεῖ, τὴν μὲν τῆς πρώτης γέννησιν τῇ ἀρχῇ τῶν πάντων ἀπονέμομεν, τῷ Διΐ· τὴν δ᾽ αὖ τῆς δευτέρας τῷ τῆς πρώτης ταύτης κορυφαίῳ οὐσίας Ποσειδῶνι, χρωμένῳ καὶ τῶν ἀδελφῶν τοῖς γνησίοις ἄλλῳ ἐπ᾽ ἄλλο συνεργοῖς· τὴν δὲ τῆς τρίτης τῶν τε τῶν Διὸς νόθων πρεσβυτάτῳ Κρόνῳ, καὶ Ἡλίῳ τῶν Ποσειδῶνος

[246] γνησίων τῷ κρατίστῳ, χρωμένοιν νυν καὶ τούτοιν ἄλλῳ ἐπ’ ἄλλο, Κρόνῳ μὲν τῶν συμπάντων νόθων ἀδελφῶν, Ἡλίῳ δὲ τῶν ἑαυτῷ ὁμοιοτέρων τῶν γνησίων, Πλανήτων διὰ τὴν πλεοναχῇ φορᾶν καλουμένων.

Ἐκ δ’ αὖ τοῦ τρίτου ἀξιώματος τὰ περὶ τῆς φύσεως ἡμῖν τῆς τοῦ ἀνθρώπου ἀποδείκνυται, ὡς ἐκ δυοῖν ὅ γε ἄνθρωπος σύνθετός ἐστιν εἰδοῖν, τοῦ μὲν θηριώδους καὶ θνητοῦ, τοῦ δὲ ἀθανάτου τε καὶ τοῖς θεοῖς συγγενοῦς. Ἐπεὶ γὰρ τοῖς ἔργοις ὁ ἄνθρωπος, τοῖς μὲν θηριώδεσι, τοῖς δὲ καὶ τοῖς τῶν θεῶν παραπλησίοις χρώμενος φαίνεται, ἀνάγκη που καὶ τῶν ἔργων τούτων ἑκατέροις οὐσίαν ἰδίαν τὴν ἀνάλογον ἕξουσαν ἀποδιδόναι. Ὡς δ’ ἔστι θάτερα ἀνθρώπῳ τῶν ἔργων τοῖς τῶν θεῶν παραπλήσια, καὶ ταῦτα αὐτῶν τοῖς σπουδαιοτάτοις, ἐναργές· οὔτε γὰρ τοῖς θεοῖς τῆς τῶν ὄντων θεωρίας ἄλλο σπουδαιότερον φήσομεν εἶναι ἔργον, ἧς κεφάλαιον ἡ Διὸς ἔννοια· ὅ τε ἄνθρωπος φαίνεται τῆς τε ἄλλης αὐτοῖς θεωρίας τῶν ὄντων κοινωνῶν, καὶ οὐδὲ τῆς Διὸς ἐννοίας ἀπολειπόμενος, ἄχρι ἧς ἐσχάτης καὶ αὐτοὶ θεοὶ ἐξικνοῦνται. Δέοι ἄρα ἂν αὐτῷ καὶ οὐσίας τῇ τῶν θεῶν παραπλησίας τῆς καὶ τοὖργον παραπλήσιον ἀποδωσούσης, καὶ ἀθανάτου δὴ, εἴ γε καὶ οὐσία ἀθάνατος ἡ τῶν θεῶν· οὐ γάρ ποτ’ ἂν θνητὸν γένοιτο ἀθανάτῳ παραπλήσιον οὐδ’ ἐφ’ ὁσονοῦν· οὐ γὰρ οὐδὲ συμϐλητὸν ὅλως τὸ πεπερασμένην ἔχον τὴν τοῦ εἶναι δύναμιν καὶ ἐπιλείπουσαν τῷ ἀνεπίλειπτον ἔχοντι καὶ ἄπειρον. Διὰ ταῦτα δὴ καὶ ἐν τῶν πράξεων

[248] τῶν τῇ πρὸς θεοὺς συγγενείᾳ προσηκουσῶν τῇ ἀποδόσει, καὶ αὐτοὶ ἐπὶ πολλοῖς ἄλλοις ἐπιεικέσι διδασκάλοις τό γε εὔδαιμον ἀνθρώπῳ ἀποφαίνομεν, ὃ καὶ τῆς βίϐλου ἡμῖν τῆσδε ἔργον, ὡς εὐδαιμονεστάτους τοὺς τοῖσδε τοῖς λόγοις προσέχοντας ἐκ τῶν ἐγχωρούντων ἀνθρώπῳ ἀπεργάζεσθαι.

Ὥς γε μὴν ἐκ δυοῖν ὁ ἄνθρωπος συντέθειται εἰδοῖν, καὶ ἐξ ἑτέρου ἡμῖν, οὐδὲ τούτου ἀμφιλόγου, ἀποδείκνυται ἀξιώματος, τοῦ μηδοτιοῦν τῶν ὄντων εἶναι, ὃ ἂν αὐτὸ ἐπὶ τὸν αὑτοῦ ὄλεθρον ὁρμήσειεν, ἀλλ’ ἅπαντα τοῦ σώζεσθαί τε, καὶ εἶναι ἐς δύναμίν γε μὴ μεθίεσθαι. Τοῦτο γὰρ λαμϐάνουσι τὸ ἀξίωμα, καὶ ἔπειτα αὖ τῶν ἀνθρώπων τοὺς αὐτοὺς αὑτοὺς ἀποκτιννύντας ἐπιϐλέπουσιν, ἐναργεστάτως καταφαίνεται οὐ τὸ θνητὸν ἡμῶν ὂν τὸ αὐτὸ αὑτὸ ἀποκτιννὺν, ἀλλά τι ἕτερον τούτου τε κρεῖττον, καὶ οὐ συναπολούμενόν γε, ἅτε οὐδ’ ἂν τούτου ἐξημμένον, οἷά περ τὰ θνητὰ ἅπαντα εἴδη, ἃ δὴ τῶν σωμάτων τέως οἷς ξύνεστιν ἐξημμένα, τούτοις καὶ λυομένοις συνδιόλλυται· οὐ γάρ ποτ’ ἂν αὐτῷ οὐ μόνον γε οὐκ ἐς τοσοῦτον, ἀλλ’ οὐδ’ ἂν ἐπὶ σμικρόν τι ἀντέϐαινεν, εἰ αὐτοῦ ἐξῆπτο· ἀλλ’ οὐσίαν ἰδίαν τε ἔχον καὶ ἐφ’ ἑαυτῆς ὑφεστηκυῖαν, ὃ ἐπειδὰν μηκέτι ἑαυτῷ λυσιτελεῖν τὸν μετὰ τοῦ θνητοῦ βίον οἰηθῇ (εἴτ’ ὀρθῶς, εἴτε καὶ μὴ, τοῦτο οἰηθέν· οὐδὲν γὰρ διαφέρει) κτεῖνάν γε αὐτὸ, ὡς ἄλλο ὂν, ἄλλου, κακοῦ δὴ δόξαντος καὶ οὐκ εὐχεροῦς συνοίκου, ἀπαλλάσσεται.

[250] Τὴν μέντοι ἀθανάτου τε καὶ θνητοῦ ἐν ἡμῖν μίξιν ὑπὸ ἁρμονίας τοῦ παντὸς θεοῖς τοῖς ἡμῶν δημιουργοῖς κατὰ Διὸς θεσμοὺς μεμηχανῆσθαι ἀξιοῦμεν, ὡς τοῦ οὐρανοῦ τοῦδε δύο μοίρα, ἥ τε ἀθάνατος καὶ ἡ θνητὴ, μεθορίῳ τινὶ τῷ ἀνθρωπείῳ τούτῳ σχήματι συνδεοίσθην. Ἵνα μὲν γὰρ πλῆρές τε ᾖ τὸ πᾶν καὶ παντελὲς, ἔκ τε ἀθανάτου καὶ θνητοῦ αὐτὸ ἔδει συνεστάναι, ἵνα μὴ διεστῆκῃ αὐτὸ αὑτοῦ, μηδὲ διεσπασμένον ᾖ, ἀλλ’ ἐς ἕν τι τῷ ὄντι σύστημα συνεστήκῃ. Ὡς γὰρ ἔστιν ἅττα τῶν ἐν αὐτῷ οὐ σμικρῷ ἀλλήλοις διαφόρων μεθορίοις τισὶν ἐκ τῶν, ἐνόντων συνηρμόσθη, οὕτω καὶ ἀθανάτοις τὰ θνητὰ τῷ κατὰ τὸν ἄνθρωπον τοῦτον μεθορίῳ συνεδέθη. Ει μὲν οὖν τῷ αὐτοῦ ἀθανάτῳ τὸ θνητὸν ἀεὶ συνῆν, κἂν αὐτὸ ἀθάνατον ἀπέϐαινεν, ἐκ τῆς πρὸς τὸ ἀθάνατον ἀεὶ συνουσίας ἀπαθανατιζόμενον, καὶ οὐκέτ’ ἂν ἀθανάτου τε μοίρας μεθόριον καὶ θνητῆς, ὅπερ ἔδει, ὁ ἄνθρωπος ἦν, ἀλλὰ τοῖς ἀθανάτοις ἂν ὅλως συνετέτακτο. Εἴτε καὶ ἅπαξ τὸ ἀθάνατον τῷ θνητῷ ὡμιληκὸς, τὸν λοιπὸν ἅπαντα χρόνον ἀπήλλακτο αὐτοῦ, ᾤχετ’ ἂν καὶ οὕτω τὸ ἀθανάτων τε καὶ θνητῶν μεθόριον ἅπαξ γεγονὸς, οὐκ ἀεὶ μὲν ὂν μεθόριον, οὐδ’ ἀεὶ θνητὰ ἀθανάτοις συναρμόττον, ἀλλὰ ἅπαξ γε συνηρμοκὸς, καὶ ἔπειτα σὺν τῇ αὐτοῦ τοῦ θνητοῦ ἀπαλλαγῇ καὶ ταύτην ἄν τὴν ἁρμονίαν λελυκός. Κατελείπετο ἄρα παρὰ μέρος μὲν τῷ θνητῷ τὸ ἀθά-

[252] νατον κοινωνεῖν, παρὰ δὲ μέρος, τούτου γε ἀπολλυμένου, καθ’ αὑτό τε ἑκάστοτε γίγνεσθαι, καὶ ζῇν χωρὶς, καὶ τοῦτο οὕτω τὸν ἀεὶ χωρεῖν καὶ ἄπειρον χρόνον.

Ταῦτα τὰ δόγματα τοῖς ἀπὸ Πυθαγόρου μάλιστα καὶ Πλάτωνος δέδοκται σοφοῖς. Ταῦτα ἄλλων τε ἐθνῶν ἐξηγηταῖς, καὶ δὴ καὶ τῶν ἡμετέρων προγόνων τοῖς τὴν κατὰ Κούρητας ἐκείνους καλῶς τε καὶ εὖ διαδεδεγμένοις θεοσέβειαν. Ταῦτα Ζωροάστρῃ, καὶ τοῖς ἀπ’ αὐτοῦ. Ἐς ὃν ἡμεῖς, ἕνα δὴ ἄνδρα ἀρχαιότατον τῶν γε ἐν μνήμῃ, τὰ τοιαῦτα ἀναφέρομεν τῶν δογμάτων, οὐκ ἀπ’ ἐκείνου καὶ ἦρχθαι ἡγούμενοι αὐτά· συναΐδια γὰρ ἂν τῷ παντὶ οὐρανῷ καὶ ἐν ἀνθρώποις ταῦτα δὴ τἀληθῆ δόγματα εἶναι, κἂν εἰ ἔστι μὲν ὅτε παρὰ πλείοσιν, ἔστι δ’ ὅτε παρ’ ἐλάττοσι κρατεῖ, τοῖς γε δὴ, ἀπ’ ἐννοιῶν κοινῶν τῶν ὑπὸ θεῶν ταῖς ψυχαῖς ἡμῶν ἐντεθειμένων καλῶς τε καὶ εὖ ὁρμωμένοις· ἀλλ’ ὅτι τῶν ἐς ἡμᾶς ὀνομαζομένων οὗτος δογμάτων τῶν γε ὀρθῶν ἐξηγητής ἐστιν ὁ παλαιότατος, πλείοσιν ἢ πεντακισχιλίοις ἱστορούμενος τῆς Ἡρακλειδῶν καθόδου ἔτεσι πρεσβύτερος. Τὸν γάρ τοι Μῆνα τῶν Αἰγυπτίων νομοθέτην, ἔτι αὖ καὶ τούτου πλείοσιν ἢ τρισχιλίοις ἔτεσιν ἱστορούμενον πρεσβύτερον, οὐ σοφόν τινα φήσομεν οὐδὲ σπουδαῖον γεγονέναι νομοθέτην. Οὐ γάρ ποτ’ ἂν οὕτω περιέργους τὰς τῶν θεῶν ἁγιστείας καὶ φαύλας γε παρενομοθέτει, εἰ μὴ καὶ τὰ δόγματα αὐτῷ φαύλως προσεῖχεν. Εἰ γὰρ τοῖς ἀπ’ ἐκείνου ἱερεῦσι

[254] τὰ δόγματα τοῖς γε Ζωροαστρείοις τούτοις παραπλήσιον ἔσχεν, ἀλλ’ οὔτοι καὶ παρὰ Μηνὸς τοιαῦτα ἐκδεδόσθαι αὐτὰ φήσομεν· ἀλλ’ ὕστερον αὐτοὺς διὰ τὴν περὶ σοφίαν ἀνευρηκέναι σχολήν· καὶ ἔπειτα οὐ καὶ τὰς ἁγιστείας οἵους τε γενομένους διορθώσασθαι διὰ νόμον ἐκ μὲν Μηνὸς αὐτοῖς καθεστηκότα, ἄριστα δ’ ἔχοντα καὶ σωτήριον εὐνομουμένοις, οὐ μέντοι καὶ φαύλοις γε χρωμένοις νόμοις, τὸν τῶν πατρίων μή ἐῶντα τολμᾶν μηδὲ τὸ σμικρότατον κινεῖν, [ὥστε] δόγμασι μὲν διατελεῖν αὐτοὺς σπουδαίοις χρωμένους, ἁγιστείας δὲ τοὺς πολλοὺς φαύλας τελεῖν. Γεγονέναι μὲν οὖν καὶ ἄλλοις ἄλλους νόμους ἐπιεικεῖς τινας· καὶ εἶναί γε ἐνίους τῶν μὲν Ζωροαστρείων τούτων τοῖς δόγμασιν οὐκ ἀπῳδοὺς, οὔτοι μὴν καὶ τῆς ἀκριβείας εἰς ἅπαν γε ἐφικνουμένους, ἐν οἷς καὶ τούς τε Ἰνδῶν καὶ Ἰβήρων τῶν ἑσπερίων γεγονέναι, τούτους μέν γε καὶ Ζωροάστρῃ τούτῳ συγχρόνως σχεδὸν ἐσχηκότας· Ἰβήρων μὲν οὔτε τοῦ νομοθέτου ἔτι καὶ ἐς ἡμᾶς ὀνομαζομένου, οὔτε τῶν νόμων μενόντων αὐτοῖς· Ἰνδοῖς δὲ τῶν τε νόμων, καὶ ἔτι μενόντων πολλῶν, καὶ τοῦ νομοθέτου Διονύσου λεγομένου, ὃς Ἰνδῶν κεκρατηκώς τε καὶ ἄρξας ἔπηλυς [ἤθεσί] τε λέγεται καὶ νόμοις τισὶν ἐπιεικέσι τὸ γένος διακεκοσμηκέναι. Τούτῳ καὶ ὁ ἐκ Σεμέλης πολλῷ ὕστερον γεγονὼς Διόνυσος ἤτοι ὁ αὐτὸς ἂν εἴη τῇ ψυχῇ, ἢ τὸν βίον σφόδρα τις ἐζηλωκώς· ἀστρατωτάτω δὲ τὼ ἄνδρε ἄμφω. Ὃ κἂν

[256] περὶ Ἡρακλέους τις νομίσειε, τοῦ τε ἐξ Ἀμφιτρύωνος καὶ Ἀλκμήνης, τοῦ τε πολλῷ τούτου παλαιοτέρου γεγονότος, τοῦ Τυρίου· στρατιωτικωτάτω δ’ αὖ τούτω τὼ ἄνδρε· Φέρειν δὲ δὴ τὰς περιόδους παραπλησίους καὶ βίους ἑκάστοτε καὶ πράξεις, καὶ οἴσειν γε ἀεί· γεγονέναι τε οὐδὲν οὐδεπώποτε καινὸν, οὐδὲ γίγνεσθαι, ὃ μὴ καὶ πρότερόν ποτε ταὐτὸ γέγονε τῇ ἰδέᾳ, ἅμα τε καὶ αὖθίς ποτε ἔσται. Ἐπεὶ δ’ ἀνάγκη, ἀθέου μὲν οὐδενὸς ὄντος γε ἔθνους, ἄλλοις δ’ ἄλλων γιγνομένων καὶ διαφόρων περὶ τοῦ θείου ἀνθρώποις τῶν δοξῶν, μίαν μὲν καὶ τὴν αὐτὴν ἀεὶ τὴν κρατίστην εἶναι, τὰς δ’ ἄλλας φαυλοτέρας, καὶ τούτων αὖ ἄλλην ἄλλης τῆς κρατίστης ἐγγυτέρω, τὰς δὲ πο῍ῥωτέρω, καὶ πο῍ῥωτάτω δὴ ἐνίας, ἡμεῖς κρατίστῃ οὔσῃ τῇ κατὰ Ζωροάστρην ταύτῃ προστιθέμεθα, ᾗ καὶ ἡ κατά τε Πυθαγόραν καὶ Πλάτωνα συνενήνεκται φιλοσοφία, ἀκριβείᾳ τε τῶν ἄλλων ἁπασῶν πλεονεκτούσῃ δοξῶν, καὶ ἅμα πατρίῳ, καὶ ἡμῖν οὔσῃ. Ἐν οὖν ταύτῃ μόνῃ δὴ ἀκραιφνοῦς τῆς μακαριότητος, ὁπόση ἡμῖν δυνατὴ ἐνεῖναι, ἐντυγχάνειν ἀξιοῦμεν. Ἐν δὲ ταῖς ἄλλαις, καθ’ ὅσον περ ἂν ἑκάστη ταύτης ἀπολείπηται, κατὰ τοσοῦτον καὶ μακαριότητος μὲν τοὺς χρωμένους ἀπολείπεσθαι, ἀθλιότητι δὲ πελάζειν, καὶ ἀθλιωτάτους δὴ τοὺς ταῖς πο῍ῥωτάτω ταύτης δόξαις χρωμένους ἀποβαίνειν, ἅτε καὶ ἐν σκότει δεινῷ, τῇ περὶ τῶν μεγίστων ἀμαθίᾳ, καλινδουμένους.

Ἀλλ’ εἴποι ἄν τις ὡς τῶν σοφιστῶν ἔνιοι, οἷς καὶ ἀν-

[258] θρώπων πάμπολλοι ἕσποντο, μείζω τὰ ἀγαθὰ τοῖς σφίσι πειθομένοις τῶν ὑφ’ ἡμῶν περὶ τὸ ἀνθρώπειον γένος ἀποφαινομένων καταγγέλλουσιν, εἴ γε καὶ εἰς εἰλικρινῆ τινα ἥξειν αὐτοὺς ἀθανασίαν διατείνονται, θνητῷ οὐδενὶ οὐκέτι ἐγκαταμιχθησομένην, τῶν ἡμετέρων λόγων οὔποτε παύσεσθαι ἀξιούντων τὰς ψυχὰς ἡμῶν θνητῇ ἑκάστοτε κοινωνούσας φύσει, ὁπότε δὴ ἑκάστῃ ἡ περίοδος καθήκοι. Ἀλλὰ πρῶτον μὲν καὶ ἀνθρώπων οὐ τοῖς μείζω ὑπισχνουμένοις συμϐάλλειν μᾶλλον ἢ τοῖς πιστοτέροις οἵ γε εὐφρανοῦντες ἀξιοῦσιν· οὔκουν οὐδὲ τῶν λόγων οἱ μείζους ἐλπίδας ὑποτείνοντες πρὸ τῶν πιστοτέρων αἱρετέοι· οὐ γὰρ ἂν λυσιτελοῖ, ἐλπίσι μείζοσι μὲν, κεναῖς δὲ καὶ ἀνηνύτοις, κηλουμένοις, ψεύδεσί τισιν ἐνδιατρίϐειν περὶ τῶν μεγίστων καὶ οὐχ ὑγιέσι δόξαις. Κακοδαιμονίας γὰρ τοῦτο δὴ τὸ χείριστον, ἐψεῦσθαι περὶ τῶν θεῶν καὶ τῶν μεγίστων ἀνθρώποις διανοημάτων, καὶ ἕτερα οἴεσθαι ὧν χρὴ φρονεῖν περὶ αὐτῶν. Ἔπειτα οὐδὲ θαυμαστὸν οὐδὲν, εἰ ἅ γε ἡμεῖς περὶ τὸ γένος ἀποφαίνομεν τὸ ἀνθρώπειον, καὶ μείζω ἅμα τῶν ὑπὸ τῶν σοφιστῶν τούτων ἐπαγγελλομένων φανείη σκοποῦσιν ὀρθῶς. Πρῶτον μὲν γὰρ αὐτοὶ οὐχ ὁλόκληρον τήν ἀϊδιότητα οὐδ’ ἀρτίαν, οὔτε ὅλῳ τῷ οὐρανῷ, οὔτε τῇ ψυχῇ τῇ ἀνθρωπίνῃ ἀξιοῦσιν, οὐκ ἐπ’ ἀμφότερα, ἀλλ’ ἐπὶ θάτερα μόνον, τὸ μέλλον, φάσκοντες τῇ γενέσει τῶν ὄντων τὴν ἀϊδιότητα ἔσεσθαι. Τὸν γάρ τοι οὐρανὸν χρόνῳ τε ἠργμένον ποιοῦσι, καὶ ἅμα τοῖς πράγμασι τοῖς ἀνθρωπείοις συμμετασκευασθήσεσθαι ἀξιοῦσιν, ἵνα πιθανώτεροι γοῦν, οἷς ταῦτα διαγ-

[260] γέλλουσι, φαίνοιντο, τοῦτο μὲν μὴ καθ' ἑαυτὰ τὰ ἀνθρώπεια πράγματα, ἀλλὰ τῷ ὅλῳ φάσκοντες συμμεταβαλεῖν, τοῦτο δὲ καὶ βραχὺν μέν τινα χρόνον φαῦλα, τὸν δὲ μετὰ ταῦτα καὶ ἄπειρον σπουδαῖα τὰ ἔργα τὸν θεὸν ἀποδώσειν ἀξιοῦντες. Πιθανώτερον γάρ πως τὸ τοιοῦτον ἢ εἰ ἄπειρον μὲν χρόνον τὸν πρότερον φαῦλα, ἄπειρον δ' αὖ τὸν μετὰ ταῦτα σπουδαῖα ἔφασκον ἀποδώσειν. Ἡμεῖς δ' ἀρτίαν τε, καὶ οὐχ ἡμίτομον οὐδὲ χωλὴν, τῇ ψυχῇ τῇ ἀνθρωπίνῃ τὴν ἀϊδιότητα ἀποφαίνοντες, καὶ μεῖζον τοῦ ταύτῃ ἀποφαίνομεν ἀγαθόν. Δῆλα γὰρ δὴ ὅτι ἐπ' ἀμφότερα αὕτη ἡ ἀϊδιότης τῆς ἡμιτόμου ἐκείνης πολὺ μείζων καὶ καλλίων, καὶ τὸ οὕτως ἀΐδιον τοῦ ἐκείνως πολὺ τελεώτερον καὶ κάλλιον. Ἴσως μὲν οὖν ὑπολάβοι ἄν τις, ὡς τὸ μὲν οἰχόμενον οὐκέτι δή ἐστιν, οὐδ' ἔστιν αὐτοῦ αὖθις πειραθῆναι, τὸ δὲ μέλλον, εἰ οὐδέ πω καὶ τοῦτ' ἔστιν, ἀλλ' οὖν, διὰ τὸ ἔσεσθαί ποτε, τοῦ οὐκέτι ἐσομένου μᾶλλον γ' ἂν εἴη, ὥστε καὶ ἄμεινον εἴη ἄν· ἐπεὶ καὶ τὴν ἐπιθυμίαν τοῦ μὲν οἰχομένου μεθίεσθαι ἤδη, πρὸς δὲ τὸ ἐσόμενον, ὡς δὴ καὶ μᾶλλον ὂν, ὅλην τετράφθαι· τὴν οὖν ἐπ' ἀμφότερα ταύτην ἀϊδιότητα μὴ ὄντι μόνῳ τῆς ἐπὶ θάτερον, τὸ μέλλον, γιγνομένην μείζω, οὔτ' ἂν μείζω τῇ ἀληθείᾳ, οὔτ' ἂν καλλίω εἶναι. Ἀλλ' ἡμεῖς ......

*Ζητητέον τὰ ἐπιόντα, εἰ καὶ ἀνεύρετα· ἠφάνισται γὰρ ὑπὸ Σχολαρίου, ὥς φασι.*[2]

2 This sad lament was added by a scribe to a manuscript of the surviving fragments of the *Book of Laws*.

[262] ΠΛΗΘΩΝΟΣ

# ΖΩΡΟΑΣΤΡΕΙΩΝ ΤΕ ΚΑΙ ΠΛΑΤΩΝΙΚΩΝ ΔΟΓΜΑΤΩΝ ΣΥΓΚΕΦΑΛΑΙΩΣΙΣ.

Ἐκεῖνα μάλιστ’ ἂν δέοι κεφάλαια εἰδέναι τόν γε δὴ φρόνιμον ἐσόμενον. Πρῶτον μὲν ἐκεῖνο περὶ θεῶν, ὡς εἰσίν. Εἷς μὲν αὐτῶν Ζεὺς ὁ βασιλεὺς, μέγιστός τε καὶ ἐς ὅσον γε ἐνῆν ἄριστος, τοῖς ὅλοις τοῖσδε ἐφεστηκὼς, καὶ θεότητι ἐξαίρετος, αὐτὸς μὲν πάντη τε ὢν καὶ πάντως ἀγένητος, τῶν δ’ ἄλλων ἁπάντων πατήρ τε καὶ δημιουργὸς πρεσϐύτατος. Τούτου δὲ παῖς μὲν πρεσϐύτατος, ἀμήτωρ γε, δεύτερος δὲ θεὸς, Ποσειδῶν, τά τε δευτερεῖα τῆς κατὰ πάντων ἡγεμονίας πρὸς τοῦ πατρὸς ἐπιτετραμμένος, καὶ ἔτι τὴν τοῦδε τοῦ οὐρανοῦ γένεσίν τε καὶ δημιουργίαν, θεοῖς καὶ ἑτέροις χρώμενος ὑπάρχοις, τοῖς μὲν ἀδελφοῖς, ἀμήτορσι πᾶσιν ὑπερουρανίοις, Ὀλυμπίοις τε δὴ καὶ Ταρταρίοις· τοὺς δὲ καὶ αὐτὸς ἐξ Ἥρας ἤδη, θεοῦ τῆς γε ὕλης παραγωγοῦ, γεννῶν, τοὺς ἐντὸς οὐρανοῦ τοῦδε, τό τε δὴ οὐράνιον γένος ἄστρων, καὶ τὸ τῇ ἡμετέρᾳ ἤδη φύσει προσεχὲς δαιμόνων γένος χθόνιον. Ὃς καὶ Ἡλίῳ, παίδων τῶν ἑαυτοῦ τῷ πρεσϐυτάτῳ, ἡγεμονίαν τε τὴν τοῦδε τοῦ οὐρανοῦ ἐπιτέτραφε, καὶ ἔτι γένεσιν

[264] τὴν τῶν ἐν αὐτῷ θνητῶν, ταύτην μέντοι καὶ σὺν Κρόνῳ, θεῶν τῶν γε Ταρταρίων Τιτάνων [ἀδελφῷ] τε καὶ ἡγεμόνι. [Τῶν Ὀλυμπίων θεῶν τοὺς Ταρταρίους διαφέρειν τῷ τοὺς μὲν Ὀλυμπίους τῶν ἐν τῷδε τῷ οὐρανῷ ἀθανάτων παραγωγούς τε εἶναι καὶ προστάτας, τοὺς δὲ Ταρταρίους τῶν τῇδε θνητῶν προστατεῖν· ὥστε καὶ Κρόνον τῶν Ταρταρίων, τὸν δ’ αὐτὸν καὶ Τιτάνων κορυφαῖον εἶναι, καὶ σύμπαντος τοῦ θνητοῦ εἴδους προστάτην. Ἥραν δ’ ἐν τοῖς Ὀλυμπίοις τεταγμένην δευτέραν μετὰ Ποσειδῶ, ὕλης τῆς πρεσβυτάτης, ἀνωλέθρου καὶ αὐτῆς οὔσης, τῷ αὐτῷ Ποσειδῶνι ἐς τὰ ἔργα παραγωγόν τε εἶναι καὶ προστάτιν· αὐτὸν δὲ Ποσειδῶ σύμπαντος εἴδους προστατεῖν καὶ ἀθανάτου καὶ θνητοῦ, κορυφαῖον μὲν τῷ παντὶ ἐφεστῶτα, συντεταγμένον γε μὴν καὶ αὐτὸν τοῖς ὅλοις· τὸν γάρ τοι Δία μόνον τῷ ἐξαιρέτῳ τῆς θεότητος καὶ τῷ παντὶ ἐξαίρετον ἐφεστάναι.]

Πρῶτον μὲν οὖν τοῦτο οὕτω τὲ καὶ ταύτῃ μάλιστα ἀκριβούμενον νομίζειν. Ἔπειθ’ ὡς καὶ τῶν ἡμετέρων προνοοῦσιν οὗτοι οἱ θεοὶ, οἱ μὲν αὐτῶν προσεχῶς ἐφαπτόμενοι, οἱ δὲ διὰ τῶν σφῶν ὑποδεεστέρων, ἅπαντες δὲ κατὰ θεσμοὺς τοὺς τοῦ Διὸς ἅπαντα κατευθύνοντος. Εἶθ’ ὥς τῶν μὲν κακῶν οὐδενὸς, οὔτ’ ἄλλῳ οὐδενὶ τῶν πάντων,

[266] οὔθ’ ἡμῖν, τῶν δ’ ἀγαθῶν αὐτοί εἰσιν οἱ αἰτιώτατοι. Ἐπὶ δὲ τούτοις, ὡς καὶ εἱμαρμένῃ ἀμεταστρόφῳ καὶ ἀπαρατρέπτῳ ἐκ Διὸς χωρούσῃ, κατά γε δὴ τὸ ἐνὸν βέλτιστον, ἕκαστα περαίνουσι. Καὶ ταῦτα μὲν περὶ θεῶν.

Περὶ δὲ τοῦ παντὸς, πρῶτον μὲν αὖ ὡς ἀΐδιον τόδε τὸ πᾶν, ἐν ᾧ δὴ καὶ οἱ δεύτεροί τε οὗτοι καὶ τρίτοι θεοὶ, τῷ Διῒ γέγονε, καὶ οὔτε ἠργμένον χρόνῳ, οὔτ’ αὖ ποτε τελευτῆσον. Ἔπειθ’ ὡς καὶ ἐκ πολλῶν τῶν πάντων ἐς ἕν τι ἡρμοσμένον. Εἶθ’ ὡς ἄριστα ἐκ τῶν ἐνόντων τῷ πεποιηκότι, ὅτι δὴ μάλιστα ἀρίστῳ ὄντι, μεμηχανημένον, οὐ λελοιπότι οὐδ’ ἡντινοῦν ὑπερβολήν. Ἐπὶ τούτοις αὖ, ὡς καὶ ὡσαύτως ἀεὶ ἐν τῷ καθεστηκότι σχήματι σωζόμενον ἀπαρακίνητον. Τοσαῦτ’ οὖν καὶ περὶ τοῦ παντός.

Περὶ δὲ αὖ ἡμῶν αὐτῶν, πρῶτον μὲν ὡς θεοῖς ἡ ψυχὴ ἡμῶν οὖσα συγγενὴς ἀθάνατός τε μένει ἐν οὐρανῷ τῷδε τὸν ἅπαντα χρόνον καὶ ἀΐδιος. Ἔπειθ’ ὡς καὶ σώματι τῷ θνητῷ τῷδε ὑπὸ θεῶν κοινωνήσουσα ἑκάστοτε, ἄλλοτε ἄλλῳ, καταπέμπεται, τῆς τοῦ παντὸς ἕνεκα ἁρμονίας, ὡς καὶ θνητῶν ἀθανάτοις ἔν γε ἡμῖν καὶ εἴδει τῷ ἡμετέρῳ κοινωνούντων, τὸ πᾶν καὶ ταύτῃ αὐτὸ αὐτῷ συνδέοιτο. Εἶθ’ ὡς τὸ καλὸν ἡμῖν, οἰκείως τῇ πρὸς θεοὺς συγγενείᾳ,

[268] τὸ προσῆκον τοῦ βίου τέλος. Ἐπὶ δὲ πᾶσιν, ὡς καὶ τὸ εὔδαιμον ἡμῖν, ἐν τῷ ἀθανάτῳ ἡμῶν, ὃ καὶ τῆς οὐσίας ἀνθρώπου ἐστὶ τὸ κυριώτατον, ὑπὸ τῶν τὸ γένος ἡμῶν συστησαμένων θεῶν ὥρισται.

Ταῦτα δὴ ιϐ´ σύμπαντα κεφάλαια περί τε θεῶν, καὶ τοῦ παντὸς τοῦδε, καὶ φύσεως τῆς ἡμετέρας, εἰδέναι τε δεῖ καὶ νομίζειν, εἰ μέλλοι τις ἃ χρὴ ὡς μάλιστα φρονῶν, καὶ φρόνιμος τῷ ὄντι ἔσεσθαι.

---